πά. Ὁ σύνεσιν ἐξουθενῶν, καὶ εἰς ἀμάθειαν καυχώμενος, οὐκ ἔστι μόνον ἰδιώτης τῷ λόγῳ, ἀλλ' καὶ τῇ γνώσει.

πβ'. Ὥςπερ γὰρ ἄλλω ἐστὶ σοφία λόγου, καὶ ἄλλο φρόνησις, οὕτως ἰδιωτεία λόγου ἕτερον, καὶ ἕτερον ἀφροσύνη.

πγ'. Οὐδὲν βλάψει ἀμάθεια λέξεων τὸν εὐλαβέστατον, ὡς οὐδὲ σοφία λόγων τὸν ταπεινόφρονα.

πδ'. Μὴ λέγε, ὅτι οὐκ ἐπίσταμαι τὸ δέον, καὶ ἀναίτιος εἰμι μὴ ποιῶν αὐτό· εἰ γὰρ ἐποίεις ὅσα ἐπίστασαι καλὰ, καὶ τὰ λοιπά σοι ἀκολούθως ἀπεκαλύπτετο, οἰκίσκων τρόπων ἓν δι' ἑνὸς κατανοούμενα· οὐ συμφέρει σοι πρὸ τῆς ἐργασίας τῶν προτέρων εἰδέναι τὰ δεύτερα· ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν, ἡ δὲ ἀγάπη οἰκοδομεῖ διὰ τὸ τὰ πάντα ὑπομένειν

πέ. Τῆς θείας Γραφῆς τὰ ῥήματα, διὰ πράξεων ἀναγίνωσκε, καὶ μὴ πλατυλόγει ἐπὶ ψιλοῖς τοῖς νοήμασι φυσιούμενος.

πς'. Ὁ ἀφεὶς τὴν πρᾶξιν, καὶ ψιλῇ τῇ γνώσει ἐπ[illegible]ειδόμενος, ἀντὶ διστόμου μαχαίρας, καλαμίνην ῥάβδον κατέχει· ἥτις ἐν καιρῷ πολέμου, κατὰ τὴν Γραφὴν, τρήσει τὴν χεῖρα αὐ[illegible]ῦ, καὶ εἰσελεύσεται εἰς αὐτὴν, τὸν ἰὸν τῆς φύσεως πρὸ τῶν πολ[illegible]ίων ἐμβαλοῦσα.

πζ'. Μέτρον ἔχει καὶ σταθμὸν παρὰ Θεῷ πᾶσ[illegible] ἔννοια· ἔστι γὰρ τὸ αὐτὸ ἢ ἐμπαθῶς, ἢ μονοτρόπως λογίσασθαι.

πή. Ὁ ποιήσας ἐντολὴν, ἐκδεχέσθω τὸν ὑπ[illegible] ταύτης πειρασμόν· ἡ γὰρ εἰς Χριστὸν ἀγάπη, δι' ἐναντίων δοκ[illegible]ζεται.

πθ'. Μὴ καταφρονήσῃς ποτὲ ἐκ λογισμοῦ [illegible]ἀμελείᾳ. ἀλάνθαστος γάρ ἐστιν ὁ Θεὸς ἐπὶ πάσης ἐννοίας.

ῃ'. Ὅταν ἴδῃς λογισμὸν, ἀνθρωπίνην σοι δόξαν ὑπαγορεύοντα, γίνωσκε σαφῶς, ὅτι αἰσχύνην σοι κατασκευάζει.

ῃά. Ἐπίσταται ὁ ἐχθρὸς τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, καὶ ζητεῖ μόνον τὴν νοερὰν συγκατάθεσιν· οὕτω γὰρ ἂν, ἢ τοῖς τῆς μετανοίας πόνοις ὑπεύθυνον ποιήσει τὸν ὑποχείριον, ἢ μὴ μετανοοῦντα ἀκουσίοις ἐπιφοραῖς ὀδυνήσει αὐτόν· ἔστι δ' ὅτε καὶ πρὸς τὰς ἐπιφορὰς ἀντιμάχεσθαι παρασκευάζει, ὅπως καὶ ὧδε τὰς ὀδύνας πολυπλασιάσῃ, καὶ ἐν ἐξόδῳ διὰ τὴν ἀνυπομονησίαν ἀποδείξῃ ἄπιστον.

ῃβ'. Πρὸς τὰ ἐπερχόμενα, πολλοὶ πολλὰ ἀντετάσσοντο· ἀλλ' ἐκτὸς προσευχῆς καὶ μετανοίας, οὐδεὶς δεινὸν διέφυγεν.

ῃγ'. Ἓν δι' ἑνὸς τὰ κακὰ λαμβάνει τὴν δύναμιν· ὁμοίως καὶ τὰ ἀγαθὰ, δι' ἀλλήλων αὐξάνονται· καὶ τῶν ἑαυτῶν μέτοχον, ἐπὶ τὰ πρόσω μειζόνως προτρέπονται.

ῃδ'. Τὰ μικρὰ ἁμαρτήματα εὐτελίζει ὁ διάβολος· ἄλλως γὰρ ἐπὶ μείζονα κακὰ ἀγαγεῖν οὐ δύναται.

ῃέ. Ῥίζα αἰσχρᾶς ἐπιθυμίας ἀνθρώπινος ἔπαινος, ὥςπερ καὶ σω-

φροσύνης, ὁ περὶ κακίας ἔλεγχος· οὐχ ὅταν αὐτὸν ὃ καὶ καταδεχόμεθα.

μγ'. Οὐδὲν ὠφελήθη ὁ ἀποταξάμενος, καὶ ἡδυπαθῶν· ὃ γὰρ ἐποίει διὰ τῶν χρημάτων, τοῦτο καὶ μηδὲν ἔχων ἐργάζεται.

μζ'. Πάλιν ὁ ἐγκρατὴς, ἐὰν (1) κτᾶται χρήματα, ἀδελφός ἐστι τοῦ προτέρου κατὰ διάνοιαν· μητρὸς μὲν τῆς αὐτῆς διὰ τὴν νοερὰν ἡδονὴν. πατρὸς δὲ ἑτέρου διὰ τὴν τοῦ πάθους ἐναλλαγήν.

μή. Ἔστιν ὁ περικόπτων πάθος διὰ μείζονα ἡδυπάθειαν, καὶ ὑπὸ τῶν ἀγνοούντων αὐτοῦ τὸν σκοπὸν δοξάζεται· τάχα δὲ καὶ ἑαυτὸν ἀγνοεῖ κοπιῶν ἀνόνητα.

μθ'. Αἰτία πάσης κακίας, κενοδοξία καὶ ἡδονή· ὁ δὲ μὴ μισήσας ταῦτα, οὐ περιαίρει πάθος.

ρ'. Ῥίζα πάντων τῶν κακῶν εἴρηται ἡ φιλαργυρία, ἀλλ' αὐτὴ σαφῶς δι' ἐκείνων συνίσταται.

ρά. Ἐκτυφλοῦται ὁ νοῦς διὰ τούτων τῶν τριῶν παθῶν, φιλαργυρίας λέγω, [illegible] κενοδοξίας, καὶ ἡδονῆς.

ρβ'. Τρεῖς θυγατέρες τῆς βδέλλης αὗται κατὰ τὴν γραφὴν, ὑπὸ μητρὸς ἀφροσύνης ἀγαπήσει ἀγαπώμεναι.

ργ'. Γνῶσις, καὶ πίστις αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' οὐδὲν ἕτερον, ἢ δι' ἐκείνας ἠμβλύνθησαν.

ρδ'. Θυμὸς, καὶ ὀργὴ, καὶ πόλεμοι, καὶ φόνοι, καὶ πᾶς ὁ λοιπὸς τῶν κακῶν κατάλογος δι' ἐκείνας ἐν ἀνθρώποις σφόδρα ἐκραταιώθησαν.

ρέ. Οὕτω δεῖ μισῆσαι φιλαργυρίαν, καὶ κενοδοξίαν, καὶ ἡδονὴν, ὡς μητέρας τῶν κακῶν, καὶ μητρυιὰς τῶν ἀρετῶν.

ρϛ'. Διὰ ταύτας μὴ ἀγαπᾷν τὸν κόσμον, καὶ τὰ ἐν τῷ κόσμῳ προσετάχθημεν· οὐχ ἵνα τὰ κτίσματα τοῦ Θεοῦ ἀκρίτως μισήσωμεν, ἀλλ' ὅπως τῶν τριῶν ἐκείνων παθῶν τὰς ἀφορμὰς περικόψωμεν.

ρζ'. Οὐδεὶς φησὶ, στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις· ὁ γὰρ μετὰ τῆς ἐμπλοκῆς τὰ πάθη νικῆσαι θέλων, ὅμοιός ἐστι τῷ μετὰ ἀχύρων σβεννύοντι ἐμπρησμόν.

ρή. Ὁ διὰ χρήματα, ἢ δόξαν, ἢ ἡδονὴν ὀργιζόμενος τῷ πλησίον, οὔπω ἔγνωκεν ὅτι ἐν δικαιοσύνῃ διοικεῖ ὁ Θεὸς τὰ πράγματα.

ρθ'. Ὅταν ἀκούσῃς τοῦ Κυρίου λέγοντος, ὅτι εἴτις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐκ ἔστι μου ἄξιος, μὴ μόνον περὶ χρημάτων νόει τὸ εἰρημένον, ἀλλὰ καὶ περὶ πάντων τῶν τῆς κακίας ἐνεργημάτων.

ρί. Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὐδὲ ἀληθῶς πιστεύειν δύναται ἡ γὰρ γνῶσις, κατὰ φύσιν προηγεῖται τῆς πίστεως.

(1) Ἐν ἄλλ. κατέχῃ.

ριά. Ὥςπερ ἑκάστῳ τῶν ὁρωμένων ὁ Θεὸς ἀπένειμε τὸ προσφυὲς. οὕτω καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς, κἂν θέλωμεν, κἂν μὴ θέλομεν,

ριβ'. Εἴτις προφανῶς ἁμαρτάνων, καὶ μὴ μετανοῶν, οὐδὲν ἔπαθεν ἕως ἐξόδου αὐτοῦ, τοῦτου νόμιζε ἀνίλεων εἶναι τὴν κρίσιν.

ριγ'. Ὁ ἐφρόνως προσευχόμενος, ὑπομένει τὰ ἐπερχόμενα· ὁ δὲ μνησικακῶν. οὔπω καθαρῶς προσηύξατο.

ριδ'. Ζημιωθεὶς, ἢ ὀνειδισθεὶς, ἢ ἐκδιωχθεὶς παρά τινος, μὴ λογίζου τὸ παρὸν, ἀλλὰ τὸ μέλλον ἐκδέχου, καὶ εὑρήσεις ὅτι πολλῶν σοι ἀγαθῶν γέγονε πρόξενος, οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

ριέ. Ὥςπερ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρὸν, οὕτω τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει· τοὺς μὲν εὐεκτεῖν, τοὺς τοὺς δὲ, μετανοεῖν παρασκευάζει τὰ φάρμακα..

ριϛ'. Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε· διότι τοῦτο ἐκείνῳ (1) ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ ἂν σπείρῃ ἕκαστος, τοῦτο καὶ θερίσει.

ριζ'. Ἑκουσίως τὰ φαῦλα σπείραντες, καὶ ἀκουσίως αὐτὰ θερίζοντες, τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.

ριή. Ἐπειδὴ καιρός τις ἀναμέσον σπόρου, καὶ θερισμοῦ διώρισται, τούτου χάριν (2) ἀπιστοῦμεν περὶ τὴν ἀνταπόδοσιν.

ριθ'. Ἁμαρτήσας, μὴ αἰτιῶ τὴν πρᾶξιν, ἀλλὰ τὴν ἔννοιαν· εἰμὴ γὰρ ὁ νοῦς προέδραμεν, οὐκ ἂν τὸ σῶμα ἐπιτελούθησε.

ρκ'. Τῶν προφανῶς ἀδικούντων πονηρότερός ἐστιν ὁ λαθροκακοῦργος· διόπερ ἐκεῖνος καὶ πονηροτέρως κολάζεται

ρκά. Ὁ δόλους συμπλέκων, καὶ κεκρυμμένως κακοποιῶν, ὅφις ἐστὶ, κατὰ τὴν Γραφὴν, ἐγκαθήμενος ἐν ὁδῷ, καὶ δάκνων πτέρναν ἵππου.

ρκβ'. Ὁ ἐν τῷ αὐτῷ εἷς τινα μὲν ἐπαινῶν, τινὰ δὲ ψέγων τὸν πέλας, οὗτος κενοδοξίᾳ καὶ φθόνῳ κεκράτηται· καὶ διὰ μὲν τῶν ἐπαίνων, κρύπτειν πειρᾶται τὸν φθόνον· διὰ δὲ τὸν ψόγων, ἑαυτὸν εὐδοκιμώτερον ἐκείνου συνίστησιν.

ρκγ'. Ὥςπερ οὐκ ἔστιν ἐπὶ τὸ αὐτὸ καὶ πρόβατα βόσκειν, καὶ λύκους· οὕτως ἀδύνατον ἐλέους τυχεῖν δολοποιοῦντα τὸν πλησίον.

ρκδ'. Ὁ τῇ ἐπιταγῇ σμίγων λάθρα τὸ ἑαυτοῦ θέλημα, μοιχὸς ἐστι, καθὼς ἐν τῇ Σοφίᾳ δεδήλωται, καὶ δι' ἔνδειαν φρενῶν, ὀδύνας καὶ (3) ἀτιμίας ὑποφέρει.

---

(1) Ἀναμφιβόλως.
(2) Ἐν ἄλλ. ἀπιστεῖν οὐκ ὀφείλομεν.
(3) Λύπας.

ρκέ. Ὥςπερ ὕδατος καὶ πυρὸς ἐναντία ἡ σύνοδος, οὕτως ἐναντιοῦνται ἀλλήλοις δικαιολογία καὶ ταπείνωσις.

ρκϛ'. Ὁ ζητῶν ἄφεσιν ἁμαρτιῶν, ἀγαπᾷ τὴν ταπεινοφροσύνην· ὁ δὲ κατακρίνων τὸν ἕτερον, σφραγίζει τὰ ἑαυτοῦ κακά.

ρκζ'. Μὴ ἀφῇς ἀνεξάλειπτον ἁμαρτίαν, κἂν βραχυτάτη τυγχάνῃ, ἵνα μὴ ὕστερον ἐπὶ μείζω κακὰ παρασύρῃ σε.

ρκή. Ἐὰν θέλῃς σωθῆναι, ἀληθῆ λόγον ἀγάπησον, καὶ μηδέποτε ἀκρίτως ἔλεγχον ἀποστραφῇς.

ρκθ'. Λόγος ἀληθείας μετέβαλε γεννήματα ἐχιδνῶν, καὶ ἀπέδειξεν αὐτοῖς φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς.

ρλ'. Ὁ δεχόμενος λόγους ἀληθείας, ὑποδέχεται τὸν Θεὸν Λόγον· φησὶ γὰρ, ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται.

ρλά. Παραλυτικός ἐστι χαλασθεὶς διὰ τοῦ δώματος, ἁμαρτωλὸς παρὰ πιστῶν κατὰ Θεὸν ἐλεγχόμενος, καὶ διὰ τὴν ἐκείνων πίστιν λαμβάνων τὴν ἄφεσιν.

ρλβ'. Κρεῖσσον μετ' εὐλαβείας ὑπερεύχεσθαι τῷ πλησίον, ἢ ἐλέγχειν αὐτὸν ἐπὶ παντὶ ἁμαρτήματι.

ρλγ'. Ὁ ὀρθῶς μετανοῶν, ὑπὸ ἀφρόνων χλευάζεται· τοῦτο δὲ αὐτῷ ἐστὶ τεκμήριον εὐαρεστήσεως.

ρλδ'. Ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται· καὶ οὐ παύεται, ἕως ἂν ἐξολοθρεύσῃ Κύριος σπέρμα ἐκ Βαβυλῶνος.

ρλέ. Λόγισαί με ὑδεκα εἶναι τὰ πάθη τῆς ἀτιμίας· ἐὰν ἓν ἐξ αὐτῶν ἀγαπήσῃς θ ήματι, ἐκεῖνος ἀναπληρώσει τὸν τόπον τῶν ἕνδεκα.

ρλϛ'. Πῦρ ἐστι καιόμενον ἡ ἁμαρτία· ὅσον ἂν περικόψῃς τὴν ὕλην τοσοῦτον σβεσθήσεται· καὶ καθὸ ἂν ἐπιτεθῇς, ἀναλόγως ἐκκαυθήσεται.

ρλζ'. Ἐπαρθεὶς ἐν ἐπαίνοις, ἐκδέχου ἀτιμίαν· φησὶ γὰρ, ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται.

ρλή. Ὅταν πᾶσαν ἑκούσιον κακίαν τῆς διανοίας ἀποβάλωμεν, τότε (1) ἂν πολεμήσωμεν τοῖς κατὰ πρόληψιν πάθεσιν.

ρλθ'. Πρόληψίς ἐστι τῶν προτέρων κακῶν μνήμη ἀκούσιος· παρὰ μὲν τῷ ἀνταγωνιστῇ, προβῆναι εἰς πάθος κωλυομένη· παρὰ δὲ τῷ νικητῇ, ἕως προσβολῆς ἀνατρεπομένη.

ρμ'. Προσβολή ἐστιν ἀνείδωλος κίνησις καρδίας κλεισούρας δίκην ὑπὸ τῶν ἐμπείρων προκατεχομένη.

ρμά. Ὅπου εἰκόνες λογισμοῦ, ἐκεῖ συγκατάθεσις γέγονε· κίνημα γάρ ἐστιν ἀνείδωλον, ἀναίτιος προσβολή· ἔστι δὲ καὶ ὁ ἐκ τούτων

(1) Ἐν ἄλλ. ἴσ. αὖ.

ἐκφεύγων ὡς δειλὸς ἐκ πυρὸς, καὶ ἔστιν ὁ μὴ ἀναστρέφων ἕως ἂν ἐκκαύσῃ φλόγα.

ρμβ'. Μὴ λέγε, ὅτι οὐ θέλω καὶ ἔρχεται· πάντως γὰρ κἂν μὴ αὐτὸ, τὰς δὲ αἰτίας ἀγαπᾷς τοῦ πράγματος.

ρμγ'. Ὁ ζητῶν ἔπαινον, ἔγκειται πάθει· καὶ θλῖψιν ἐπελθοῦσαν ὁ ἀποδυρόμενος, ἀγαπᾷ τὴν ἡδονήν.

ρμδ'. Ὡς ἐπὶ ζυγοῦ ἀστατεῖ τοῦ ἡδυπαθοῦντος ὁ λογισμός· ποτὲ μὲν κλαίει καὶ ἀποδύρεται διὰ τὰς ἁμαρτίας, ποτὲ δὲ πολεμεῖ καὶ ἀντιλέγει τῷ πλησίον (1) ἐκδιώκων τὰς ἡδονάς.

ρμέ. Ὁ πάντα δοκιμάζων, καὶ τὸ καλὸν κατέχων, ἀκολούθως ἀπὸ παντὸς πονηροῦ (2) ἀφίξεται.

ρμϛ'. Μακρόθυμος ἀνὴρ, πολὺς ἐν φρονήσει· ὁμοίως καὶ ὁ λόγος σοφίας παραλαβὼν τὸ οὖς αὐτοῦ.

ρμζ'. Χωρὶς μνήμης Θεοῦ, γνῶσις ἀληθὴς εἶναι οὐ δύναται· ἐκτὸς γὰρ τῆς προτέρας, ἡ δευτέρα νόθος τυγχάνει.

ρμή. Τὸν σκληροκάρδιον, ὠφελεῖ λεπτοτέρας γνώσεως λόγος· διότι ἐκτὸς φόβου, μετανοίας πόνους οὐ καταδέχεται.

ρμθ'. Τῷ πραεῖ ἀνθρώπῳ πιστολογία συμβάλλεται· καθότι οὐ πειράζει Θεοῦ μακροθυμίαν, καὶ οὐ τύπτεται ἐν πυῒ ἢ παραβάσει.

ρν'. Ἄνδρα δυνατὸν μὴ ἐλέγξῃς ἐπὶ κενοδοξίᾳ, ἀλλὰ τὴν ἐπιφορὰν τῆς μελλούσης ἀτιμίας ὑπόδειξον· τούτῳ γὰρ τῷ τρόπῳ ὁ συνετὸς ἡδέως ἐλέγχεται.

ρνά. Ὁ μισῶν ἔλεγχον, κατὰ πρόθεσιν ἕλκεται τῷ πάθει· ὁ δὲ ἀγαπῶν, δηλονότι κατὰ πρόληψιν παραφέρεται.

ρνβ'. Μὴ θέλε ἀκούειν ἀλότρια πονηρεύματα· τῷ γὰρ τοιούτῳ θελήματι, καὶ οἱ χαρακτῆρες τῶν πονηρευμάτων ἐνδιαγράφονται.

ρνγ'. Κακοῖς λόγοις ἐνηχηθεὶς, ἑαυτῷ ὀργίζου, καὶ μὴ τῷ λαλήσαντι· πονηρᾶς γὰρ ἀκοῆς, πονηρὸς καὶ ὁ ἀποκρισάριος.

ρνδ'. Εἴτις ματαιολόγοις ἀνθρώποις περιτύχῃ ὑπεύθυνον ἑαυτὸν ἡγείσθω τῶν τοιούτων ῥημάτων, κἂν μὴ προσφάτως ἀλλ' ἐκ παλαιοῦ χρεωστήματος.

ρνέ. Ἐὰν ἴδῃς τινὰ καθ' ὑπόκρισιν ἐπαινοῦντά σε, ἐν ἰδίῳ καιρῷ παρ' ἐκείνου ψόγον ἐκδέχου.

ρνϛ'. Τὰ παρόντα θλιβερὰ, προσυνάλασσε τοῖς μέλλουσιν ἀγαθοῖς· καὶ οὐδέποτέ σου τὸν ἀγῶνα χαυνώσει (3) πλημμέλεια.

ρνζ'. Ὅταν διὰ σωματικὴν παροχὴν, ἄνθρωπον ὡς ἀγαθὸν ἐκτὸς

(1) Ἐν ἄλλ. ἐκδικῶν.
(2) Ἐν ἄλλ. ἐκφεύξεται.
(3) Ἐν ἄλλ. ἀμέλεια.

τοῦ Θεοῦ ἐπαινέσῃς, ὕστερον ὁ αὐτὸς πονηρός σοι φανήσεται.

ρνή. Πᾶν ἀγαθὸν παρὰ Κυρίου οἰκονομικῶς ἐπέρχεται· καὶ οἱ φέροντες αὐτὰ, εἰσὶν ἀγαθῶν διάκονοι.

ρνϑ'. Ἀγαθῶν καὶ κακῶν τὰς μεταπλοκὰς ὁμαλῷ λογισμῷ ὑποδέχου· καὶ οὕτως ἀνατρέπει ὁ Θεὸς τὰς ἀνωμαλίας τῶν πραγμάτων.

ρξ'. Ἡ ἀνισότης τῶν λογισμῶν, τὰς τῶν ἰδικῶν μεταβολὰς ἐπιφέρει· Θεὸς γὰρ τὰ ἀκούσια τοῖς ἑκουσίοις προσφυῶς ἀπένειμε.

ρξά. Τὰ αἰσθητὰ, τῶν νοερῶν εἰσὶν ἔγγονα, τὸ δέον φέροντα ψήφῳ Θεοῦ.

ρξβ'. Καρδίας ἡδυπαθούσης, λογισμοὶ, καὶ λόγοι λοιμοὶ ἀναφύονται· καὶ ἐκ τοῦ καπνοῦ, τὴν ἐγκειμένην ὕλην ἐπιγινώσκομεν.

ρξγ'. Παράμενε τῇ διανοίᾳ καὶ οὐ κοπιάσεις ἐν πειρασμοῖς· ἐκεῖθεν δὲ ἀναχωρῶν, ὑπόμενε τὰ ἐπερχόμενα.

ρξδ'. Εὔχου μὴ ἐλθεῖν σοι πειρασμόν· ἐλθόντα δὲ, καταδεξαι ὡς σὸν καὶ οὐκ ἀλλότριον.

ρξέ. Ἄρον τὴν ἔννοιαν ἀπὸ πάσης πλεονεξίας, καὶ τότε δυνήσῃ ἰδεῖν τὰς μεθοδίας τοῦ διαβόλου.

ρξ'. Ὁ λέγων, πάσας εἰδέναι τὰς μεθόδους τοῦ διαβόλου, ὡς οὐκ οἶδεν ἑαυτὸν τέλειον εἰσφέρει.

ρξζ', Ὅταν ἐξέλθῃ ὁ νοῦς τῶν σωματικῶν φροντίδων, βλέπει κατὰ ἀναλογίαν τὰς τῶν ἐχθρῶν πανουργίας.

ρξή. Ὁ λογισμοῖς συναπαγόμενος, ἐκτυφλοῦται ὑπ' αὐτῶν· καὶ τὰς μὲν ἐνεργείας τῆς ἁμαρτίας βλέπει, τὰς δὲ αἰτίας αὐτῶν ἰδεῖν οὐ δύναται.

ρξθ'. Ἔστιν ὁ ποιῶν προφανῶς ἐντολὴν δουλεύων πάθει, καὶ διὰ πονηρῶν λογισμῶν ἀγαθὴν πρᾶξιν ἀφανίζων.

ρό. Ἐμφερόμενος ἐν ἀρχῇ τοῦ κακοῦ, μὴ λέγε, οὐ μὴ νικήσει με· καθὸ γὰρ ἂν ἐμφέρῃ, κατὰ τοσοῦτον ἤδη νενίκησαι.

ροά. Ἕκαστον τῶν γενομένων ἀπὸ μικροῦ ἄρχεται, καὶ κατὰ μέρος τρεφόμενον, λαμβάνει τὴν αὔξησιν.

ροβ'. Δίκτυόν ἐστι πολύπλοκον ἡ τῆς κακίας μέθοδος· καὶ ὁ μερικῶς ἐμπλακεὶς, ἐὰν ἀμελήσῃ, περιεκτικῶς σφίγγεται.

ρογ'. Μὴ θέλε ἀκούειν δυστυχίαν ἐχθρῶν ἀνθρώπων· οἱ γὰρ ἀκούοντες τῶν τοιούτων ῥημάτων, καρποὺς τρυγῶσι τῆς ἰδίας προθέσεως.

ροδ'. Μὴ πᾶσαν θλῖψιν ἐπέρχεσθαι τοῖς ἀνθρώποις δι' ἁμαρτίας νόμιζε· εἰσὶ γὰρ τινὲς εὐαρεστοῦντες καὶ πειραζόμενοι· γέγραπται γὰρ, ἀσεβεῖς καὶ ἄνομοι ἐκδιωχθήσονται, ὁμοίως καὶ οἱ εὐσεβῶς θέλοντες ζῆν ἐν Χριστῷ, διωχθήσονται

ροέ. Ἐν καιρῷ θλίψεως, βλέπε τὴν προσβολὴν τῆς ἡδονῆς· ἐπειδὴ γὰρ παραμυθεῖται τὴν θλῖψιν, εὐπαράδεκτος γίνεται.

ροε'. Τινὲς φρονίμους λέγουσι, τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγμάτων· φρόνιμοι δὲ εἰσὶν, οἱ ἐπικρατοῦντες τῶν ἰδίων θελημάτων.

ροζ'. Πρὸ ἀναιρέσεως τῶν κακῶν, μὴ ὑπακούσῃς τῇ καρδίᾳ σου· οἵας γὰρ ἐνθήκας ἔχει, τοιαύτας καὶ προσθήκας ἐπιζητεῖ.

ροή. Ὡς περ εἰσὶν ὄφεις συναντῶντες ἐν νάπαις, καὶ εἰσὶν ἕτεροι φωλεύοντες ἐν οἰκίαις· οὕτως εἰσὶ πάθη λογιστικῶς μορφούμενα, καὶ εἰσὶν ἕτερα πρακτικῶς ἐνεργούμενα· εἰ καὶ ἐξ ἄλλων εἰς ἄλλας εἰκόνας μετεμορφώθησαν.

ροθ'. Ὅταν ἴδῃς τὰ ἐγκείμενα ὑποστατικῶς κινούμενα, καὶ εἰς πάθος προσκαλούμενα τὸν νοῦν ἡσυχάζοντα, γίνωσκε, ὅτι ὁ νοῦς ποτὲ καὶ τοῦτον προηγήσατο, καὶ εἰς πρᾶξιν ἤγαγε, καὶ ἐν τῇ καρδίᾳ ἐνέθηκεν.

ρπ'. Οὐ συνίσταται νέφος, ἐκτὸς αὔρας ἀνέμου· καὶ οὐ γεννᾶται πάθος, ἐκτὸς ἐννοίας.

ρπά. Ἐὰν μηκέτι ποιῶμεν τὰ θελήματα τῆς σαρκὸς κατὰ τὴν Γραφὴν, ῥᾳδίως ἐν Κυρίῳ ὑπολήξει τὰ προεγκείμενα.

ρπβ'. Τὰ μὲν ὑποστατικὰ τοῦ νοὸς εἴδωλα, πονηρότερα εἰσὶ καὶ (1) ἐγκρατέστερα· τὰ δὲ λογιστικὰ τούτων αἴτια καὶ προηγητικὰ τυγχάνει.

ρπγ'. Ἔστι κακία καρδιακῶς κατέχουσα, διὰ τὴν χρονίαν πρόληψιν· καὶ ἔστι κακία λογιστικῶς πολεμοῦσα, διὰ τῶν καθημερινῶν πραγμάτων.

ρπδ'. Ὁ Θεὸς τὰς πράξεις (2) καὶ τὰς προθέσεις λογίζεται· δῴη σοι, γὰρ φησὶν, ὁ Κύριος κατὰ τὴν καρδίαν σου.

ρπέ. Ὁ ἐν θεωρίᾳ συνειδήσεως μὴ ἐγκαρτερῶν, οὐδὲ τοὺς σωματικοὺς πόνους ὑπὲρ εὐσεβείας καταδέχεται.

ρπς'. Φυσικὴ βίβλος ἐστὶν ἡ συνείδησις· ὁ ἐμπράκτως ἀναγινώσκων αὐτὴν, λαμβάνει πεῖραν θείας ἀντιλήψεως.

ρπζ'. Ὁ μὴ αἱρούμενος τοὺς ὑπὲρ ἀληθείας πόνους ἑκουσίως, ὑπὸ τῶν ἀκουσίων χαλεπωτέρους παιδεύεται.

ρπή. Ὁ γνοὺς τὸ θέλημα τοῦ Θεοῦ, καὶ κατὰ δύναμιν ποιῶν αὐτὸ, διὰ μικρῶν πόνων, τοὺς μεγάλους ἐκφεύξεται.

ρπθ'. Ὁ ἐκτὸς προσευχῆς, καὶ ὑπομονῆς πειρασμοὺς νικῆσαι θέλων, οὐκ ἀπώσεται αὐτοὺς, ἀλλὰ πλέον ἐμπλακήσεται,

ρϙ'. Ὁ Κύριος εἰς τὰς ἰδίας ἐγκέκρυπται ἐντολὰς, καὶ τοῖς ζητοῦσιν αὐτὸν, κατὰ ἀναλογίαν εὑρίσκεται.

ρϙά. Μὴ εἴπῃς, ἐποίησα ἐντολὰς, καὶ οὐχ εὗρον τὸν Κύριον· γνῶ-

(1) Ἐν ἄλλ. ἐπικρατέστερα. (2) κρεῖττον, κατά.

σιν γὰρ μετὰ δικαιοσύνης, κατὰ τὴν Γραφὴν, πολλάκις εὕρηκας· οἱ δὲ ὀρθῶς αὐτὸν ζητοῦντες, εὑρήσουσιν εἰρήνην.

ρϟβ'. Εἰρήνη ἐστὶ τῶν παθῶν ἀπαλλαγὴ, ἥτις ἐκτὸς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος οὐχ εὑρίσκεται.

ρϟγ'. Ἄλλο πρᾶξις ἐντολῆς, καὶ ἄλλο ἀρετὴ, κἂν ἐξ ἀλλήλων τὰς τῶν ἀγαθῶν ἀφορμὰς λαμβάνουσι.

ρϟδ'. Πρᾶξις ἐντολῆς λέγεται, ἐν τῷ πρᾶξαι τὸ προστεταγμένον· ἀρετὴ δὲ, ἐν τῷ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γεγενημένον.

ρϟε. Ὡς περ εἷς μέν ἐστιν ὁ αἰσθητὸς πλοῦτος, κατὰ δὲ τὴν κτῆσιν πολυμερής· οὕτως μία ἐστὶν ἀρετὴ, πολυτρόπους ἔχουσα τὰς ἐργασίας.

ρϟς'. Ὁ ἐκτὸς ἔργου σοφιζόμενος, καὶ λαλῶν λόγους πλουτεῖ ἐξ ἀδικίας, καὶ οἱ πόνοι αὐτοῦ, κατὰ τὴν Γραφὴν, εἰς οἴκους ἀλλοτρίους εἰσέρχεται.

ρϟζ'. Πάντα ὑπακούσεται τῷ χρυσίῳ φησίν· καὶ τῇ χάριτι τοῦ Θεοῦ, (1) τὰ νοητὰ διοικηθήσεται.

ρϟή. Συνείδησις ἀγαθὴ, διὰ προσευχῆς εὑρίσκεται· καὶ προσευχὴ καθαρὰ, διὰ συνειδήσεως· θάτερον γὰρ θατέρα κατὰ φύσιν (2) προσδέχεται.

ρϟθ'. Ὁ Ἰακὼβ τῷ Ἰωσὴφ, χιτῶνα ποικίλον ἐποίησε· καὶ ὁ Κύριος τῷ πραεῖ, γνῶσιν ἀληθείας χαρίζεται· καθὰ γέγραπται· ὅτι διδάξει Κύριος πραεῖ ὁδοὺς αὐτοῦ.

σ'. Πάντοτε ἐργάζου τὸ ἀγαθὸν κατὰ δύναμιν, καὶ ἐν καιρῷ τοῦ μείζονος μὴ στρέφου ἐπὶ τὸ ἔλαττον· ὁ γὰρ στραφεὶς εἰς τὰ ὀπίσω, φησὶν, οὐκ ἔστιν εὔθετος εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν (3).

ΤΟΥ ΑΥΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΚΟΥ ΤΟΥ ΑΘΗΝΑΙΟΥ.

Ἐπιστολὴ πρὸς Νικόλαον Μονάζοντα.

Τῷ περιποθήτῳ τέκνῳ Νικολάῳ.

Ἐπειδή περ πρώην πολὺς ἦφρόντιζον περὶ τῆς σεαυτοῦ σωτηρίας, καὶ πολλὴν ἔχων μέριμναν περὶ τῆς κατὰ Θεὸν ζωῆς, ἀντέβαλλες ἡμῖν τὰ καθ' ἑαυτὸν διηγούμενος, δι' οἵων πόνων καὶ ὁρμῇ ζε-

(1) Ἐν ἄλλ. τὰ νοήματα.

(2) προσδέεται.

(3) Ὅρα τοῦ αὐτοῦ Σελ. 100 εἰς τὴν φιλοκαλίαν περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι. Κεφάλαια σκς'. Σ. Ε.

ούσῃ προσκολλᾶσθαι ἥμελλες τῷ Κυρίῳ δι' ἀκριβοῦς πολιτείας, καὶ ἐγκρατείας, καὶ πάσης κακοπαθείας, ἀγρυπνίᾳ τε πολλῇ καὶ συντόνῳ προσευχῇ ἀγωνιζόμενος· οἱοί τε πόλεμοι καὶ ἐσμοὶ σαρκικῶν παθῶν ἐν τῇ σωματικῇ ἀναριπίζονται φύσει, καὶ κατὰ τῆς ψυχῆς ἐπεγείρονται ἐκ τοῦ ἀντιστρατευομένου νόμου τῆς ἁμαρτίας, τῷ νόμῳ τοῦ νοὸς ἡμῶν· περισσοτέρως δὲ παρενοχλεῖσθαι ἀποδύρου ὑπὸ τοῦ τῆς ὀργῆς, καὶ ἐπιθυμίας πάθους· καὶ μέθοδόν τινα· καὶ λόγου παραίνεσιν ἐπιζήτεις, οἷοις πόνοις καὶ ἀγῶσι χρησάμενος, ἀνώτερος τῶν προειρημένων ὀλεθρίων παθῶν καταστῆναι δυνήσῃ· καὶ ἐν μὲν τῷ καιρῷ ἐκείνῳ, ὅσον ἦν δυνατὸν, κατὰ πρόσωπον τῇ ἀγάπῃ σου παρηνέσαμεν, τὰ ψυχωφελῆ νοήματα, καὶ φρονήματα ὑποτιθέμενοι· καὶ ἀποδείκνυντες οἷοις πόνοις ἀσκητοῖς μετὰ συνέσεως, καὶ πεφωτισμένης γνώσεως λογικῆς, κατὰ τὸ Εὐαγγέλιον, πολιτευσαμένη ψυχὴ διὰ πίστεως χάριτι βοηθουμένη, δύναται περιγενέσθαι τῶν ἔνδον τῆς κακίας βρυόντων κακῶν· ἐξαιρέτως δὲ, τῶν προειρημένων παθῶν. Πρὸς ἃ γὰρ πάθη διὰ προλήψεως, καὶ συνηθείας μᾶλλον πεποίωται ἡ ψυχὴ, περισσοτέρως ὑπ' αὐτῶν ὑποσυρομένη, κατὰ τούτων σπουδαιότερον, καὶ ἀδιάλειπτον τὸν ἀγῶνα ἀναλαβεῖν ὀφείλει· ἕως οὗ ὑποτάξῃ τὰ σαρκικὰ, καὶ ἄλογα(1) τῆς καρδίας ἐνεργήματα, οἷς πρότερον ὑπετάσσετο, καὶ ὑπεσύρετο, καὶ τῇ συνεχεῖ τῶν λογισμῶν ὑπομνήσει, καὶ μελέτῃ κακῇ διὰ τῆς ἔνδον τῶν ἐννοιῶν συγκαταθέσεως αἰχμάλωτος ἀπεφέρετο.

Ἐπεὶ οὖν σωματικῶς πρὸς ὀλίγον διέστη ἀπὸ σοῦ προσώπῳ, οὐ καρδίᾳ, ἐν τῇ ἐρήμῳ ἐληλυθότες πρὸς τοὺς ἀληθινοὺς ἐργάτας, καὶ ἀθλητὰς τοῦ Χριστοῦ, ὅπως καὶ ἡμεῖς κἂν μικρῶς πῶς ἀγωνισάμενοι, καὶ συναθλοῦντες τοῖς ἀδελφοῖς τοῖς ἀθλοῦσι πρὸς τὰς ἀντικειμένας ἐνεργείας, καὶ τοῖς πάθεσι γενναίως ἀντικαθισταμένοις, τὸν ὄκνον ἀποθώμεθα, τὴν ραθυμίαν ἀποτιναξώμεθα, τὴν ἀμέλειαν ἀφ' ἡμῶν ἀπορρίψωμεν, καὶ πᾶσαν σπουδὴν, καὶ ἐπιμέλειαν ἀναλάβωμεν, πρὸς εὐαρέστησιν Θεοῦ ἐπειγόμενοι· διόπερ ὀλίγην παραίνεσιν καὶ νουθεσίαν ψυχωφελῆ προεθυμήθημεν διὰ γραμμάτων χαράξαι τῇ γνησιότητί σου· ἵνα περὶ ὧν κατὰ πρόσωπον σοι ἐλάλουν, ταῦτα δι' ὀλίγων ἐν τῷ μετρίῳ τῆς παραινέσεως ἡμῶν γράμματι ἐντυγχάνων, ἐπιμελῶς, ὡς παρόντων ἡμῶν, πνευματικὴν ὠφέλειαν καρπώσῃ. Τὴν μὲν οὖν ἀρχὴν τῆς κατὰ Θεόν σου ὠφελείας, ὦ τέκνον, ἐντεῦθεν ποιεῖσθαι ὀφείλεις· ἀνεπίλησ τον, καὶ ἀειμνημόνευτον ἐν ἀδιαλείπτῳ μελέτῃ ἀναλογίζεσθαί σε χρὴ πάσας τὰς τοῦ φιλανθρώπου Θεοῦ τὰς εἰς σὲ γενομένας, καὶ γινομένας οἰκονομίας, καὶ εὐεργεσίας εἰς σωτη-

(1) Ἐν ἄλλ. *κακίας*.

ρίαν τῆς ψυχῆς σου· καὶ μὴ λήθῃ κακίας καλυπτόμενον, ἢ ραθυμίας αἰτίᾳ ἀμνημονεῖν τῶν πολλῶν, καὶ μεγάλων αὐτοῦ εὐεργεσιῶν· καὶ διὰ τοῦτο ἀνωφελῶς, καὶ ἀχαρίστως παρέρχεσθαι τὸν ὑπόλοιπον χρόνον. Αἱ γὰρ τοιαῦται ἀδιάλειπτοι μνῆμαι, ὥς πέρ τι κέντρον νύττουσαι τὴν καρδίαν, κινοῦσιν αὐτὴν πάντοτε πρὸς ἐξομολόγησιν, πρὸς ταπείνωσιν, πρὸς εὐχαριστίαν μετὰ συντετριμμένης ψυχῆς, πρὸς πᾶσαν σπουδὴν ἀγαθὴν, καὶ ἀνταπόδοσιν τρόπων, καὶ ἠθῶν χρηστῶν, καὶ πάσης τῆς κατὰ Θεὸν ἀρετῆς, ἀεὶ μελετῶσαν εὐσυνειδήτῳ γνώμῃ τὸ προφητικὸν λόγιον, τὸ, «τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;» Ὅταν γὰρ ἀναλογίσῃ ψυχὴ τὰς ἀπὸ γενέσεως τοῦ φιλανθρώπου Θεοῦ, ἢ πόσων κινδύνων πολλάκις ἐρρύσθη, ἢ πόσοις κακοῖς ὑποπεσοῦσα, καὶ ἐν πλημμελείαις πολλάκις ἑκουσίως ὀλισθήσασα, οὐ παρεδόθη κατὰ τὸ δίκαιον τοῖς ἀπατήσασι πνεύμασιν, εἰς ἀπώλειαν, καὶ θάνατον· ἀλλὰ μακροθύμως ὁ φιλάνθρωπος Δεσπότης, παρορῶν τὰ πλημμελήματα διεφύλαξεν ἐκδεχόμενος τὴν ἐπιστροφὴν αὐτῆς, καὶ τοῖς ἐχθροῖς καὶ πονηροῖς πνεύμασιν ἑκουσίως διὰ τῶν παθῶν δουλεύσασαν, αὐτὸς διέτρεφε σκέπων καὶ παντοίως προνοῶν· καὶ τέλος ἀγαθῷ νεύματι εἰς ὁδὸν σωτηρίας ὡδήγησε, καὶ φίλτρον ἀσκητικοῦ βίου τῇ καρδίᾳ ἐνέθηκε, καὶ μετὰ χαρᾶς τὸν κόσμον, καὶ πᾶσαν αὐτοῦ τὴν ἀπάτην τῶν σαρκικῶν ἡδονῶν καταλιπεῖν ἐνεδυνάμωσε, καὶ ἀγγελικῷ σχήματι τῆς ἀσκητικῆς [illegible]ξεως κατεκόσμησε, καὶ εὐχερῶς προσληφθῆναι παρὰ ἁγίων ἀνδρῶν ἐν συστήματι ἀδελφότητος παρασκεύασε· τίς δὲ εὐσυνείδητον ἔχων γνώμην καὶ ταῦτα ἀναλογιζόμενος, οὐχὶ πάντοτε ἐν συντριμμῷ καρδίας διατελέσει; ἔχων τοσαῦτα ἐνέχυρα προλαβουσῶν εὐεργεσιῶν, μηδὲν ἀγαθὸν πρότερον αὐτὸς ποιήσας, οὐχὶ πάντοτε βεβαίαν ἐλπίδα ἀναλήψεται; τοῦτο βουλευσάμενος ὅτι μηδὲν ἀγαθόν μου ποιήσαντος, ἀλλὰ καὶ πολλὰ ἐνώπιον αὐτοῦ ἁμαρτήσαντος, ἐν ἀκαθαρσίαις σαρκὸς, καὶ ἐν ἄλλαις πολλαῖς κακίαις ἀναστραφέντος, οὐ κατὰ τὰς ἁμαρτίας μου ἐποίησεν, οὐδὲ κατὰ τὰς ἀνομίας μου ἀνταπέδωκεν, ἀλλὰ τοσαύτας δωρεὰς καὶ χάριτας εἰς σωτηρίαν οἰκονόμησεν; ἐὰν ὁλοτελῶς δῶ ἐμαυτὸν τοῦ λοιποῦ δουλεύειν αὐτῷ ἐν πάσῃ ἁγνῇ ἀναστροφῇ καὶ ἀρετῶν κατορθώσει, πόσων ἀγαθῶν, καὶ πνευματικῶν χαρισμάτων καταξιώσεις εἰς πᾶν ἔργον ἀγαθὸν δυναμῶν, καὶ κατευθύνων καὶ κατευοδῶν; Διόπερ ὁ πάντοτε τοιοῦτον λογισμὸν ἔχων, καὶ μὴ ἐπιλαθόμενος τῶν τοῦ Θεοῦ εὐεργεσιῶν δυσωπεῖ ἑαυτὸν καὶ εὐθύνει, καὶ ἐπείγει πρὸς πᾶσαν ἄσκησιν ἀρετῆς ἀγαθὴν, καὶ πρὸς πᾶσαν ἐργασίαν δικαιοσύνης πάντοτε πρόθυμος, πάντοτε ἕτοιμος εἰς τὸ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ.

Τοιγαροῦν, ὦ τέκνον ἀγαπητὸν, ἔχων χάριτι Χριστοῦ, φυσικὴν σύνεσιν, ταύτην τὴν ἀδολεσχίαν, καὶ μελέτην ἀγαθὴν, πάντοτε ἐν ἑαυτῷ φύλασσε, μὴ ὑπὸ λήθης τῆς ὀλεθρίου καλυπτόμενος· μηδὲ ὑπὸ ῥαθυμίας τῆς ματαιούσης καὶ ἐκκλινούσης ἀπὸ τῆς ζωῆς τὸν νοῦν ἐμποδιζόμενος· ἢ ὑπὸ ἀγνοίας τῆς πάντων τῶν κακῶν αἰτίας τὸν λογισμὸν σκοτιζόμενος· ἢ ὑπο ἀμελείας τοῦ παγκάκου δελεαζόμενος· μὴ ὑπὸ ἡδονῆς σαρκὸς ὑποσυρόμενος· μὴ ὑπὸ γαστριμαργίας ἡττώμενος· μὴ ὑπὸ ἐπιθυμίας τὸν νοῦν αἰχμαλωτιζόμενος, καὶ συγκαταθέσει λογισμῶν πορνικῶν, μιασμῶν ἐν ἑαυτῷ ἐργαζόμενος· μὴ ὑπὸ ὀργῆς μισαδελφίαν γεννώσης νικώμενος· καὶ οἰκτρᾶς ἕνεκεν καὶ ταλαιπώρου προφάσεως, λυπῶν καὶ λυπούμενος, καὶ συνάγων μνήμας κατὰ τοῦ πλησίον λογισμῶν πονηρῶν, τῆς πρὸς Θεὸν καθαρᾶς προσευχῆς ἐκκλινόμενος, καὶ τὸν νοῦν ἐξανδραποδιζόμενος, καὶ θηριώδει λογισμῷ τὸν ὁμόψυχον ἀδελφὸν ὑποβλεπόμενος· καὶ τῷ ἀλόγῳ τοῦ σαρκικοῦ φρονήματος τρόπῳ τὴν συνείδησιν δεσμούμενος· καὶ τοῖς πονηροῖς πνεύμασιν, οἷς ὑπείξας, εἰς παιδείαν παραδιδόμενος ἄχρι καιροῦ· ἕως οὗ πάντοθεν ἐξαπορηθεὶς ὁ νοῦς, καὶ ὑπὸ λύπης καὶ ῥαθυμίας καταποθεὶς, καὶ τὴν κατὰ Θεὸν προκοπὴν διὰ τὰς προλαβούσας αἰτίας ἀπολέσας, πάλιν ἄρξεται ἐπιλαμβάνεσθαι διὰ πολλῆς ταπεινώσεως, ἀρχῆς ὁδοῦ σωτηρίας· καὶ πολλὰ καμὼν ἐν εὐχαῖς, καὶ ὁλονυκτίοις ἀγρυπνίαις· λύσας τὰ αἴτια διὰ τῆς ταπεινώσεως, καὶ ἐξομολογήσεως τῆς πρὸς τὸν Θεὸν, καὶ τῆς πρὸς τὸν πλησίον, οὕτως ἄρχεται πάλιν ἀναπνέφειν, καὶ διὰ φωτισμὸν γνώσεως εὐαγγελικῆς, θείᾳ χάριτι ἐκλαμπόμενος, γινώσκει· ὅτι ὁ μὴ ἑαυτὸν τελείως τῷ Σταυρῷ ἐπιδιδοὺς ἐν φρονήματι ταπεινώσεως καὶ ἐξουδενώσεως, καὶ ῥίψας ἑαυτὸν ὑπὸ κάτω πάντων, καταπατεῖσθαι, καὶ ἐξουθενεῖσθαι, καὶ καταφρονεῖσθαι, καὶ ἀδικεῖσθαι, καὶ καταγελᾶσθαι, καὶ χλευάζεσθαι, καὶ ταῦτα πάντα μετὰ χαρᾶς διὰ τὸν Κύριον ὑπομένειν, καὶ μὴ ἐκδικῶν ὅλως τὰ ἀνθρώπινα, δόξαν ἢ τιμὴν ἢ ἔπαινον, ἢ ἡδονὴν βρώσεως, ἢ πόσεως, ἢ ἐνδύσεως, χριστιανός ἀληθινὸς γενέσθαι οὐ δύναται. Τοιγαροῦν τοιούτων ἡμῖν προκειμένων ἀγώνων, καὶ ἄθλων, καὶ στεφάνων, μέχρι πότε ἡμεῖς ὑπὸ τῆς ἐσχηματισμένης εὐσεβοῦς μορφώσεως διαχλευαζόμεθα, μετὰ ἐπιθέσεως τῷ Κυρίῳ δουλεύοντες, ἄλλο τοῖς ἀνθρώποις νομιζόμενοι καὶ ἄλλο τῷ τὰ κρυπτὰ γινώσκοντι καταφαινόμενοι. Ἅγιοι γὰρ πολλῶν νομιζόμενοι, ἄγριοι τὸ ἦθος ἀκμὴν· ὑπάρχομεν· ἀληθῶς μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἐνώπιον τοῦ Θεοῦ μὴ κεκτημένοι· παρθένοι καὶ ἁγνοὶ παρὰ πολλῶν νομιζόμενοι· καὶ παρὰ τοῦ τὰ κρυπτὰ κατανοοῦντος, ἐν ἀκαθαρσίαις συγκαταθέσεων πορνικῶν ἔνδοθεν μολυνόμενοι· καὶ ταῖς ἐνεργείαις τῶν παθῶν βορβορού-

μενοι· καὶ διὰ τὴν ἀκμὴν ἐσχηματισμένην ἡμῶν ἄσκησιν, ἔτι καὶ τοῖς ἐπαίνοις τῶν ἀνθρώπων ὑπτιούμενοι καὶ τὸν νοῦν ἐκτυφλούμενοι. Ἕως πότε οὖν ἐν ματαιότητι τοῦ νοὸς πορευόμεθα, τοῦ εὐαγγελικοῦ φρονήματος μὴ ἐπιλαμβανόμενοι, καὶ τὴν κατὰ συνείδησιν πολιτείαν οὐκ ἐπιγινώσκομεν, ἵνα ταύτην σπουδαίως μεταδιώξωμεν; ὅπως καὶ τὴν κατὰ συνείδησιν παρρησίαν εὑρήσωμεν; ἀλλ' ἔτι ἐν τῇ νομιζομένῃ τοῦ ἔξωθεν ἀνθρώπου δικαιοσύνῃ μόνῃ στηριζόμεθα· δι' ὑστέρησιν ἀληθοῦς γνώσεως, καὶ διὰ τῶν ἔξωθεν μόνον ἐπιτηδευμάτων ἑαυτοὺς πλανῶμεν· τοῖς ἀνθρώποις ἀρέσκειν βουλόμενοι, καὶ τὰς παρ' αὐτῶν δόξας, καὶ τιμὰς, καὶ ἐπαίνους θηρώμενοι; Ἤξει πάντως ὁ τὰ κρυπτὰ τοῦ σκότους ἀποκαλύπτων, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν, ὁ ἀπαραλόγιστος δικαστής· ὁ μήτε πλούσιον ἐντρεπόμενος, μήτε πτωχὸν ἐλεῶν· ὁ τὸ σχῆμα τὸ ἔξωθεν περιαίρων, καὶ τὴν ἀλήθειαν τὴν ἔνδοθεν κεκρυμμένην φανερῶν· ὁ τοὺς κατὰ συνείδησιν πολιτευομένους, ἀληθινοὺς ἀγωνιστὰς καὶ ἀθλητὰς, ἐν παρουσίᾳ ἀγγέλων ἐπὶ τοῦ ἰδίου Πατρὸς στεφανῶν· καὶ τοὺς ἐσχηματισμένους καὶ μόρφωσιν εὐσεβείας περιβεβλημένους, καὶ φαινομένην μόνην πολιτείαν τοῖς ἀνθρώποις ἐπιδεικνυμένους, καὶ ἐπὶ ταύτῃ ματαίως στηριζομένους, καὶ ἑαυτοὺς φρενοπατοῦντας, ἐπὶ τῆς ἄνω ἐκκλησίας τῶν Ἁγίων, καὶ πάσης τῆς ἐπουρανίου στρατιᾶς θριαμβεύων· καὶ οὕτω δεινῶς αἰσχυνομένους, εἰς τὸ ἐξώτερον σκότος ἀποστέλλων, μετὰ τὰς μωρὰς παρθένους, αἵτινες τὴν μὲν ἔξωθεν παρθενίαν ἐφύλαξαν· οὐδὲν γὰρ περὶ τούτου ἐνεκληθησαν, ἀλλὰ καὶ ἔλαιον μερικῶς ἐν τοῖς ἀγγείοις εἶχον, τουτέστιν ἀρετῶν τινων καὶ κατορθωμάτων ἐξωτέρων, καί τινων χαρισμάτων μέτοχοι ἐτύγχανον· διὸ καὶ αἱ λαμπάδες αὐτῶν μέχρι τινὸς ἤπτον· διὰ δὲ ἀμέλειαν, καὶ ἄγνοιαν, καὶ ῥαθυμίαν, πρόνοιαν οὐκ ἐποιήσαντο, καὶ τὸν κρυπτόμενον ἔσωθεν τῶν παθῶν ἐσμὸν τὸν ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐνεργούμενον, ἀκριβῶς οὐκ ἐπέγνωσαν· ἀλλ' ὑπὸ τῶν ἀντικειμένων ἐνεργειῶν τὰ νοήματα αὐτῶν ἐφθείροντο, ἐν τῇ τῶν λογισμῶν συγκαταθέσει κοινωνοῦσαι αὐτοῖς, καὶ δελεαζόμεναι κρυπτῶς, καὶ ἡττώμεναι· φθόνῳ τῷ κακίστῳ, ζήλῳ τῷ μισοκάλῳ, ἔριδι φιλονικείᾳ, μίσει, ὀργῇ, πικρίᾳ, μνησικακίᾳ, ὑποκρίσει, θυμῷ, ὑπερηφανίᾳ, κενοδοξίᾳ, ἀνθρωπαρεσκείᾳ, φιλαργυρίᾳ, ἀκηδίᾳ, ἐπιθυμίᾳ σαρκικῇ, ἐν λογισμοῖς τὴν ἡδυπάθειαν ἐργαζομένη, ἀπιστίᾳ, ἀφοβίᾳ, δειλίᾳ, λύπῃ, ἀντιλογίᾳ χαυνώσει, ὕπνῳ, οἰήσει, δικαιώσει, ἐπάρσει, ἀλαζονείᾳ, ἀπληστίᾳ, ἀσωτίᾳ, πλεονεξίᾳ ἀνελπιστίᾳ τῇ πάντων χαλεπωτέρᾳ, καὶ τοῖς λεπτοῖς τῆς κακίας ἐνεργήμασιν· αἵτινες καὶ τῶν καλῶν τὴν ἐργασίαν, ἢ πολιτείαν σεμνήν, καὶ αὐτῶν ἣν ἐδόκουν ἐπὶ τῶν ἀνθρώπων ποιοῦσαι, καὶ τοὺς παρ' αὐτ[illegible] ἐπαίνους

καρπούμεναι· εἰ καί τινων ἦσαν χαρισμάτων μετέχουσαι, τοῖς τῆς κενοδοξίας καὶ ἀνθρωπαρεσκείας πνεύμασιν ἀπεμπώλουν αὐτά· καὶ τοῖς λοιποῖς πάθεσι κοινωνοῦσαι, ἐμίγνυον τὰ καλὰ ἐπιτηδεύματα τοῖς πονηροῖς, καὶ σαρκικοῖς φρονήμασι· διὸ ἀπρόσδεκτα, καὶ ἀκάθαρτα αὐτὰ ἀπειργάζοντο, κατὰ τὴν τοῦ Κάϊν θυσίαν· νυμφίου χαρᾶς στερηθεῖσαι, καὶ νυμφῶνος ἐπουρανίου ἀποκλεισθεῖσαι.

Ταῦτα οὖν λογιζόμενοι, καὶ διακρίνοντες, καὶ δοκιμάζοντες γνῶμεν καὶ συνῶμεν ἔν τισιν ἐσμὲν, ἵνα ὡς ἔτι καιρὸν μετανοίας καὶ ἐπιστροφῆς ἔχωμεν ἑαυτοὺς διορθωσώμεθα· ὅπως τὰ καλὰ ἡμῶν ἔργα καθαρῶς ἐπιτελούμενα ἀληθινὰ καὶ καθαρὰ εἴη, σαρκικῷ φρονήματι μὴ μιγνύμενα, ἵνα μὴ ἀπόβλητα γένηται ὡς θυσία ἐπίμωμος δι' ἀφοβίαν καὶ ἀμέλειαν, καὶ ἀληθινῆς γνώσεως ἔλλειψιν, μήπως καὶ τὸν κόπον τῆς παρθενίας, καὶ ἐγκρατείας, καὶ ἀγρυπνίας, καὶ νηστείας, καὶ φιλοξενίας, ὑπομείνωμεν, καὶ τὰς ἡμέρας ἀναλώσωμεν καὶ διὰ τὰς προειρημένας τῶν παθῶν αἰτίας, τὰ δοκοῦντα ἡμῖν δικαιώματα, ὡς θυσία ἐπίμωμος εὑρεθέντα ἀπρόσδεκτα τῷ ἐπουρανίῳ ἱερεῖ Χριστῷ γένηται. Γνώσεως οὖν, ὦ τέκνον, καὶ συνέσεως προηγουμένως ἐπιμελητέον τῷ βουλομένῳ τὸν Σταυρὸν ἆραι καὶ ἐπακολουθῆσαι διὰ τῆς ἀδιαλείπτου ἐν ἑαυτῷ τῶν λογισμῶν ἐρεύνης, καὶ πολλῆς μερίμνης καὶ συνέσεως, καὶ πολλῆς τῆς πρὸς Θεὸν σπουδῆς καὶ ἐρωτήσεως τῶν ὁμοψύχων καὶ ὁμοφρόνων δούλων τοῦ Θεοῦ, καὶ τὸν αὐτὸν ἀγῶνα ἀγωνιζομένων, ἵνα μὴ ἄγνοῶν ποῦ καὶ πῶς περιπατεῖ ἐν σκότει ἄνευ φωτὸς λύχνου ὁδεύῃ. Ὁ γὰρ ἰδιόρρυθμος ἄνευ εὐαγγελικῆς γνώσεως καὶ ὁδηγίαι τινὸς ὁδεύων, πολλὰ προσκόπτει καὶ εἰς πολλοὺς βόθρους, καὶ παγίδας τοῦ πονηροῦ ἐμπίπτει, καὶ πολλὰ πλανᾶται καὶ πολλοῖς κινδύνοις περιπίπτει καὶ οὐκ οἶδε ποίου τέλους τυγχάνει. Πολλοὶ γὰρ διὰ πολλῶν κόπων καὶ ἀσκήσεως διῆλθον, καὶ κακοπαθείας καὶ μόχθους πολλοὺς διὰ Θεὸν ὑπέμειναν, καὶ ἡ ἰδιορρυθμία, καὶ ἡ ἀδιακρισία, καὶ τὸ ἀνεπιδεὲς τῆς παρὰ τοῦ πλησίον ὠφελείας, ἀκύρους αὐτῶν τοὺς τοσούτους πόνους καὶ ματαίους εἰργάσαντο. Σὺ οὖν, ὦ τέκνον ἀγαπητὸν, κατὰ τὴν ἀρχὴν τοῦ λόγου παραινέσεως τὰς εἰς σὲ γεγενημένας τοῦ προσκυνητοῦ καὶ φιλανθρώπου Θεοῦ εὐεργεσίας μὴ ἐπιλανθάνου κλοπῇ κακίας, καὶ ραθυμίας ὑποσυρόμενος, ἀλλὰ τὰς ἐξ ἀρχῆς γενέσεώς σου μέχρι τοῦ νῦν ἐάν τε σωματικὰς, ἐάν τε πνευματικὰς εὐεργεσίας πρὸ ὀφθαλμῶν τιθέμενος, μελέτα ἐν αὐταῖς, καὶ ἀδολέσχει κατὰ τὸ εἰρημένον, μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ, ἵνα εὐκόλως πρὸς φόβον Θεοῦ καὶ ἀγάπην ἡ καρδία κινῆται· ὥστε ἀνταποδοῦναι κατὰ δύναμιν βίον ἀκριβῆ, πολιτείαν ἐνάρετον, συνείδησιν εὐσεβῆ, λόγον εὐάρμοστον, πίστιν ὀρθὴν, φρόνημα ταπεινὸν, καὶ

ἁπλῶς εἰπεῖν, ὅλον ἑαυτὸν τῷ Θεῷ ἀναθεῖναι· δυσωπούμενος ὑπὸ τῆς μνήμης τῶν τούτου καλῶν, ὧν πέπονθας ὑπὸ τοῦ ἀγαθοῦ, καὶ φιλανθρώπου Δεσπότου, ὅπως αὐτομάτῳ τινὶ τρόπῳ διὰ τῆς τοιαύτης τῶν εὐεργεσιῶν μνήμης, μᾶλλον δὲ, συνεργούσης σοι καὶ τῆς ἄνωθεν ροπῆς, εἰς ἀγάπην καὶ πόθον τιτρώσκηται ἡ καρδία σου· ὅτι ἅπερ ἄλλοις οὐκ ἐποίησε πολὺ κρείττοσί σου θαυμάσια, τῇ ἰδίᾳ αὐτοῦ, καὶ ἀρρήτῳ φιλανθρωπίᾳ σοὶ ἐποίησε. Πάντων μὲν οὖν τῶν εἰς σὲ γεγενημένων παρὰ Θεοῦ καλῶν, ἐν μνήμῃ ἀδιαλείπτῳ εἶναι σπούδασον· ἐξαιρέτως δὲ ἐκείνης τῆς μεγάλης, καὶ θαυμαστῆς χάριτος καὶ εὐεργεσίας ἀδιαλείπτως μήμνησο, ἧς ἐκπλέοντί σοι ἅμα τῇ μητρί σου ἐκ τῶν Ἁγίων Τόπων ἐπὶ τὴν Κωνσταντινούπολιν, παρέσχε σοι· καθὼς ἡμῖν διηγήσω, ὅτε ἡ φοβερὰ ἐκείνης, καὶ ἀκατάσχετος ζάλη, καὶ κλύδων μέγας ἐν τῇ νυκτὶ ἐκινήθη, καὶ πάντες οἱ ἐν τῷ πλοίῳ ἅμα τοῖς ναύταις καὶ αὐτῇ τῇ μητρί σου ἀπώλοντο ἐν τῷ βυθῷ· καὶ ἐκ παραδόξου καὶ θείας δυνάμεως, μόνος σὺ μετὰ δύω ἄλλων ἀπορριφέντες ἐσώθητε· καὶ πῶς ᾠκονομήθη ἐλθεῖν σε ἐν Ἀγκύρᾳ, καὶ πατρικοῖς σπλάγχνοις παρά τινος (1) ἐλευθέρου προσληφθέντα σε, καὶ διαθέσει ζευχθέντα τῷ εὐλαβεστάτῳ τέκνῳ Ἐπιφανίῳ, ἵνα ἀμφότεροι ὁδηγηθέντες διὰ τοῦ ὁσίου ἀνδρὸς, ἔλθητε εἰς σωτηρίας ὁδὸν, καὶ παρὰ ἁγίων δούλων τοῦ Θεοῦ ὡς γνήσια τέκνα προσληφθείητε. Ὑπὲρ τούτων οὖν πάντων τῶν παρὰ Θεοῦ σοι γεγενημένων καλῶν, τί ἄξιον ἔχεις ἀνταποδοῦναι τῷ καλέσαντι τὴν ψυχήν σου εἰς ζωὴν αἰώνιον; ἑαυτῷ γὰρ λοιπὸν, κατὰ τὸ δίκαιον, οὐκ ἔτι ζῇν ὀφείλεις, ἀλλὰ τῷ ὑπὲρ σοῦ ἀποθανόντι, καὶ ἐγερθέντι Χριστῷ· εἰς πᾶσαν ἀρετὴν δικαιοσύνης, εἰς πᾶσαν κατόρθωσιν ἐντολῶν, ζητῶν ἀεί τι τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ τέλειον, καὶ εὐάρεστον, καὶ τοῦτο παντὶ σθένει σπουδάζειν μεταδιώκειν. Πλὴν τὴν νεότητά σου, τέκνον, οὕτως ὑπόταξον τῷ λόγῳ τοῦ Θεοῦ, ὡς αὐτὸς ὁ λόγος ἀπαιτεῖ· παραστῆσαι τὸ σῶμα θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ τὴν λογικὴν λατρείαν. Πᾶσάν τε νοτίδα ἐπιθυμίας σαρκικῆς δι' ὀλιγοφαγίας, καὶ ὀλιγοπουσίας, καὶ ὁλονύκτων ἀγρυπνιῶν, ψύξον καὶ ξήρανον, ἵνα καὶ αὐτὸς ἐκ διαθέσεως εἴπῃς· «ἐγεν»νήθην ὡς ἀσκὸς ἐν πάχνῃ, (καπνῷ) τὰ δικαιώματά σου οὐκ ἐπελαθό»μην». Καὶ ἐπιγνοὺς ὅτι Χριστοῦ εἶ, τὴν ἑαυτοῦ σάρκα σταύρωσον, κατὰ τὴν ἀποστολικὴν φωνὴν, σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις· καὶ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νέκρωσον· οὐ μόνον τὴν πρᾶξιν τῆς πορνείας, ἀλλὰ καὶ τὴν ἐνεργουμένην ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐν τῇ σαρκὶ ἀκαθαρσίαν. Καὶ οὐ μόνον ἕως τούτου ἴστησι τὸν ἀγῶνα. ὁ

(1) Ἐν ἄλλ. ἑτέρου.

ἀληθινῆς, καὶ ἀμολύντου, καὶ ὁλοτελοῦς παρθενίας στέφανον ἐκδεχόμενος, ἀλλ' ἐπακολουθῶν τῇ Ἀποστολικῇ διδασκαλίᾳ, καὶ αὐτοῦ τοῦ πάθους τὴν σημασίαν, καὶ κίνησιν νεκροῦν ἀγωνίζεται. Καὶ οὐδ' οὕτως ἔτι πληροφορεῖται, σφοδρῷ ἔρωτι τὴν ἀγγελικὴν καὶ ἄχραντον παρθενίαν ἐν τῷ ἰδίῳ σώματι κατασκηνῶσαι ἐκδεχόμενος, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν μόνῳ τῷ λογισμῷ ψιλῆς ἐπιθυμίας ἐνθύμησιν, ἄνευ κινήσεως καὶ ἐνεργείας σωματικοῦ πάθους, ὡς ἐν παραρριπισμῷ νοὸς ἀνερχομένην, ἐξαφανισθῆναι εὔχεται. Τοῦτο δὲ διὰ τῆς ἄνωθεν βοηθείας, καὶ δυνάμεως, καὶ ἐπιχορηγίας τοῦ Πνεύματος μόνης, κατορθοῦσθαι δυνατὸν, εἴ ἄρα τινὲς εἰσὶν οἱ τῆς χάριτος ταύτης καταξιούμενοι. Οὕτως ὁ τῆς καθαρᾶς, καὶ ἀΰλου, καὶ ἀχράντου παρθενίας τὸν στέφανον ἐκδεχόμενος, σταυροῖ δι' ἀσκητικῶν πόνων τὴν σάρκα· νεκροῖ τὰ ἐπὶ τῆς γῆς μέλη τῇ ἐπιτάσει, καὶ ἐπιμονῇ τῆς ἐγκρατείας· διαφθείρων τὸν ἔξω ἄνθρωπον, καὶ λεπτύνων αὐτὸν, καὶ ρυσσὸν καὶ κατεσκληκότα ἀπεργαζόμενος, ἵνα διὰ πίστεως, καὶ ἀγώνων, καὶ τῇ τῆς χάριτος ἐνεργείᾳ, ὁ ἔσω ἄνθρωπος ἀνακαινίζηται ἡμέραν ἐξ ἡμέρας ἐπὶ τὸ κρεῖττον προκόπτων· ἀγάπῃ αὐξανόμενος· πραότητι κοσμούμενος· ἀγαλλιάσει πνεύματος εὐφραινόμενος· εἰρήνῃ Χριστοῦ βραβευόμενος· χρηστότητι ἀγόμενος· ἀγαθότητι φρουρούμενος· φόβῳ Θεοῦ περιεχόμενος· συνέσει, καὶ γνώσει φωτιζόμενος· σοφίᾳ λαμπρυνόμενος· ταπεινοφροσύνῃ δδηγούμενος. Ταύταις καὶ ταῖς ὁμοίαις ἀρεταῖς ἀνακαινιζόμενος ὁ νοῦς ὁ τοῦ Πνεύματος, τῆς θεοειδοῦς εἰκόνος τὸν χαρακτῆρα ἐν ἑαυτῷ ἀνορίζει· καὶ τῆς δεσποτικῆς ὁμοιώσεως τὸν νοητὸν καὶ ἄρρητον κάλλος κατανοεῖ· καὶ τῆς αὐτοδιδάκτου, καὶ αὐτομαθοῦς σοφίας του ἐνδιαθέτου νόμου τὸν πλοῦτον καταλαμβάνει. Λέπτυνον οὖν, ὦ τέκνον, τὴν νεωτερικὴν σάρκα, καὶ τοῖς προειρημένοις πίανον τὴν ἀθάνατον ψυχὴν, καὶ ταῖς προειρημέναις ἀρεταῖς ἀνακαίνισον τὸν νοῦν τῇ συνεργείᾳ τοῦ Πνεύματος. Νεότητος γὰρ σάρκες πεπιασμέναι διαφόροις βρώμασι καὶ οἴνου πόσει, ὡς χοῖρος ἕτοιμος πρὸς σφαγὴν· οὐ τῇ πυρώσει τῶν τοῦ σώματος ἡδονῶν, ἡ ψυχὴ κατασφάζεται· καὶ ζέσει τῆς κακῆς ἐπιθυμίας. ὁ νοῦς αἰχμαλωτίζεται, ἀντέχειν πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς μὴ δυνάμενος. Εἴσροὴ γὰρ αἵματος, ἐκροὴν πνεύματος ἀπεργάζεται. Ἐξαιρέτως δὲ οἴνου μετάληψιν μηδὲ ὀσφραινέσθω νεότης· ἵνα μὴ διπλῇ πυρκαϊὰ ἐμφανιζομένη τῇ ἔσωθεν τοῦ πάθους ἐνεργείᾳ, καὶ τῇ ἔξωθεν ἐπιχεομένῃ οἰνοποσίᾳ, καὶ διὰ τούτων ἡ ἡδονὴ τῆς σαρκὸς ὑπερζέσασα, τὴν πνευματικὴν ἡδονὴν τοῦ πόνου τῆς κατανύξεως ἐξ ἑαυτῆς ἀποδιώξῃ· καὶ σύγχυσιν καὶ πώρωσιν ἐν τῇ καρδίᾳ ἐμποιήσῃ· ἀλλὰ δι' ἐπιθυμίαν πνευματικὴν, καὶ ὕδατος κόρον ἡ νεότης μὴ [illegible]οσιέσθω. Πάνυ γὰρ πρὸς συνεργίαν σωφροσύνης συμβάλ-

λεται ἢ τοῦ ὕδατος ἔνδεια. Καὶ τοῦτο ἔργῳ δοκιμάσας, αὐτῇ τῇ πείρᾳ τὴν πληροφορίαν λήψῃ. Οὐ γὰρ ὡς ζυγὸν ἀνάγκης σοι ἐπιθεῖναι βουλόμενοι· τοῦτο νομοθετοῦμεν ἢ ὁρίζομεν, ἀλλ' ὡς ἐπίνοιαν, καὶ μέθοδον ἀγαθὴν πρὸς συνεργίαν ἀληθοῦς παρθενίας, καὶ ἀκριβοῦς σωφροσύνης παραινοῦμεν ἀγαπητικῶς καὶ συμβουλεύομεν· τῇ αὐτεξουσίῳ σου προαιρέσει καταλιμπάνοντες, ποιεῖν ὃ βούλεται.

Δεῦρο δὴ λοιπὸν καὶ περὶ τοῦ ἀλόγουτῆς ὀργῆς πάθους ὀλίγα διαλάβωμεν, τοῦ πᾶσαν ψυχὴν ἐρημοῦντος, καὶ συγχέοντος, καὶ σκοτίζοντος, καὶ θηρίοις ὅμοιον τὸν ἄνθρωπον ἀποδεικνύοντος, ἐν καιρῷ τῆς κινήσεως, καὶ ἐνεργείας αὐτοῦ, τὸν μάλιστα εὐολίσθως καὶ ὀξυρρεπῶς πρὸς αὐτὸ ἔχοντα. Τὸ πάθος τοῦτο, ἐξαιρέτως ὑπερηφανίᾳ στηρίζεται, καὶ κραταιοῦται, καὶ ἀκατάλυτον γίνεται· ἕως ἂν ὑπονοτίζηται τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ διαβολικὸν δένδρον τῷ φαύλῳ τῆς ὑπερηφανίας ὕδατι, εὐανθοῦν καὶ εὐθαλοῦν, πολὺν τὸν τῆς ἀνομίας καρπὸν φέρει· καὶ οὕτως ἀκατάληπτος ἡ τοῦ πονηροῦ οἰκοδομὴ ἐν τῇ ψυχῇ γίνεται, ἔχουσα στήριγμα, καὶ κραταίωμα τοὺς τῆς ὑπερηφανίας θεμελίους. Εἰ οὖν βούλει τὸ δένδρον τῆς ἀνομίας, τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ λέγω πάθος, ἐν σοὶ ξηρανθῆναι, καὶ ἄκαρπον γενέσθαι, ἵνα ἡ ἀξίνη τοῦ πνεύματος ἐλθοῦσα ἐκκόψῃ αὐτὸ, καὶ εἰς τὸ πῦρ βάλῃ, κατὰ τὴν εὐαγγελικὴν φωνὴν, καὶ ἐξάρῃ σὺν πάσῃ κακίᾳ· καὶ εἰ βούλει τὸν τῆς ἀνομίας οἶκον, ὃν ὁ πονηρὸς οἰκοδομεῖ κακίας ἐν τῇ ψυχῇ, ἑκάστοτε ὡς λίθους, προφάσεις διαφόρους εὐλόγους, ἢ ἀλόγους συνάζων, διὰ τὸν τῆς ὕλης πραγμάτων ἢ ῥημάτων ἐν τοῖς λογισμοῖς, καὶ οἰκοδομὴν κακίας ἐν τῇ ψυχῇ κατασκευάζων, στήριγμα καὶ κραταίωμα τοὺς τῆς ὑπερηφανίας λογισμοὺς ὑποτιθείς· εἰ οὖν βούλει τοῦτον καταλυθῆναι, καὶ κατασκαφῆναι τὸν οἶκον, ἔχε τὴν ταπείνωσιν τοῦ Κυρίου ἀνεπίληστον ἐν τῇ καρδίᾳ σου· Τίς ὢν, τί γέγονε δι' ἡμᾶς· καὶ ἐξ οἵου ὕψους φωτὸς Θεότητος ἀποκεκαλυμμένης, κατὰ δύναμιν τῶν ἄνω οὐσιῶν, καὶ ἐν οὐρανοῖς δοξαζομένης ἀπὸ πάσης λογικῆς φύσεως, Ἀγγέλων, Ἀρχαγγέλων, Θρόνων, Κυριοτήτων. Ἀρχῶν, Ἐξουσιῶν, Χερουβὶμ καὶ Σεραφὶμ. καὶ τῶν ἀκατανομάστων νοερῶν Δυνάμεων, ὧν οὐκ ἔφθασαν εἰς ἡμᾶς τὰ ὀνόματα, κατὰ τὸ τοῦ Ἀποστόλου αἴνιγμα· εἰς οἷον βάθος ταπεινώσεως ἀνθρώπων δι' ἄφατον ἀγαθότητα κατῆλθε, κατὰ πάντα ὁμοιωθεὶς ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, καὶ διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως αἰχμαλώτοις γεγενημένοις, καὶ διὰ τῆς ἐνεργείας τῶν παθῶν ὑπὸ τοῦ ἐχθροῦ κυριευομένοις. Ἐν τῇ τοιαύτῃ τοίνυν αἰχμαλωσίᾳ χαλεπῶς ὄντας ἡμᾶς, καὶ βασιλευομένους ὑπὸ τοῦ ἀοράτου, καὶ πικροῦ θανάτου, οὐκ ἐπησχύνθη ὁ πάσης κτίσεως δρατῆς καὶ ἀοράτου Δεσπότης, ἀλλὰ ταπεινώ-

σας ἑαυτὸν, καὶ ἀναλαβὼν τὸν ὑπὸ τὰ πάθη (1) τῆς ἀτιμίας, καὶ ἐπιθυμίας, καὶ δεσποτικῆς ἀποφάσεως καταδικασθέντα ἄνθρωπον, κατὰ πάντα ὅμοιος ἡμῖν γέγονε χωρὶς ἁμαρτίας, τοὐτέστι χωρὶς παθῶν ἀτιμίας· τὰ γὰρ διὰ τὴν ἁμαρτίαν τῆς παραβάσεως ὑπὸ τῆς δεσποτικῆς ἀποφάσεως ἐπενεχθέντα τῷ ἀνθρώπῳ ἐπιτίμια, θανάτου, κόπου, πείνης, δίψης, καὶ τῶν τοιούντων, πάντα ἀνέλαβε, γενόμενος ὅ ἐσμὲν, ἵνα γενώμεθα ὅπερ ἐστίν· ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα ἡ σὰρξ γένηται Λόγος· πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· ὡμοιώθη διὰ πολλὴν φιλανθρωπίαν ἡμῖν, ἵνα διὰ πάσης ἀρετῆς ὁμοιωθῶμεν αὐτῷ· ἐξ οὗ γὰρ ἐπεδήμησεν ὁ Χριστὸς, ἀληθῶς ὁ κατ' εἰκόνα, καὶ ὁμοίωσιν γεγονὼς ἄνθρωπος, διὰ τῆς τοῦ Πνεύματος χάριτος καὶ δυνάμεως ἀνακαινίζεται εἰς μέτρον τῆς τελείας ἀγάπης φθάνων, τῆς ἔξω βαλλούσης τὸν φόβον, τῆς μηκέτι ὑπὸ πτῶσιν γενέσθαι δυναμένης· ἡ γὰρ ἀγάπη οὐδέποτε πίπτει· ἡ ἀγάπη, γὰρ φησὶν ὁ Ἰωάννης, ὁ Θεός ἐστι· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει. τούτῳ τῷ μέτρῳ κατηξιώθησαν οἱ Ἀπόστολοι, καὶ οἱ ὁμοίως αὐτοῖς τὴν ἀρετὴν ἐξασκήσαντες, καὶ τελείους ἑαυτοὺς τῷ Κυρίῳ παραστήσαντες, καὶ τελείῳ πόθῳ, ἐν ὅλῃ τῇ ζωῇ αὐτῶν, τῷ Χριστῷ ἐξακολουθήσαντες. Τὴν τοσαύτην τοίνυν ταπείνωσιν, ἣνπερ διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ἀρρήτῳ φιλανθρωπίᾳ ἀνέλαβεν ὁ Κύριος, ἐὰν πάντοτε ἀνεπιλήστως ἀναλογίζῃ, τοὐτέστι τὴν ἐν μήτρᾳ τοῦ Θ.ὼῦ Λόγου κατασκήνωσιν, τὴν τοῦ ἀνθρώπου ἀνάληψιν, τὴν ἀπὸ γυναικὸς γέννησιν, τὴν κατὰ μέρος τῆς σωματικῆς ἡλικίας αὔξησιν· τὰς ἀτιμίας, τὰς ὕβρεις, τοὺς ὀνειδισμοὺς, τοὺς χλευασμοὺς, τὰς λοιδορίας, τὰς μάστιγας, τὰ ἐμπτύσματα, τὸν κατάγελων, τὸν ἐμπαιγμὸν, τὴν κοκκίνην χλαμύδα, τὸν ἀκάνθινον στέφανον, τὴν τῶν ἀρχόντων κατ' αὐτοῦ ἀπόφασιν, τὴν τῶν ἀνόμων Ἰουδαίων ὁμοφύλων ὄντων κατ' αὐτοῦ βόησιν· ἆρον, ἆρον, σταύρωσον αὐτόν· τὸν Σταυρὸν, τοὺς ἥλους, τὴν λόγχην, τὸν ποτισμὸν τοῦ ὄξους καὶ τῆς χολῆς, τὸν θριαμβον τῶν ἐθνῶν, τὸν κατάγελον τῶν παραπορευομένων, καὶ λεγόντων· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύσωμέν σοι· καὶ τὰ λοιπὰ τῶν παθημάτων, ἅπερ δι' ἡμᾶς ὑπέμεινε τὴν σταύρωσιν, τὸν θάνατον, τὴν ἐν μνημείῳ τριήμερον ταφὴν, τὴν εἰς τὸν ᾅδην κάθοδον· ἔπειτα, τὰς τῶν παθημάτων ἐπικαρπίας, οἵαι καὶ τίνες· τοὐτέστι τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν τοῦ ᾅδου, καὶ θανάτου σκύλευσιν τῶν συνελθουσῶν ψυχῶν τῷ Κυρίῳ, τὴν ἐν οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, τὴν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας,

(1) Ἐν ἄλλ. τῆς ἐπιτιμίας καὶ Δεσποτικῆς ἀποφάσεως.

καὶ παντὸς ὀνόματος ὀνομαζομένου τιμὴν καὶ δόξαν, τὴν πάντων τῶν Ἀγγέλων προσκύνησιν εἰς τὸν πρωτότοκον τῶν νεκρῶν, διὰ τὴν τῶν παθημάτων αἰτίαν, καὶ τὴν τοῦ ἀποστόλου φωνὴν τὴν λέγουσαν «τοῦτο φρονείσθω ἐν ἡμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ. ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων», καὶ τὰ ἑξῆς. Ἰδοὺ αἱ τῶν προρρηθέντων αἰτίαι κατὰ τὸ δίκαιον τοῦ Θεοῦ, εἰς ποίαν δόξαν καὶ ὕψος τὸν Κυριακὸν ἄνθρωπον ἀνήγαγον. Τοιγαροῦν, ἐὰν πόθῳ, καὶ διαθέσει ἀνεπιλήστως τὰς μνήμας ταύτας διασώζῃς ἐν τῇ καρδίᾳ σου, οὐ κυριεύσει σου τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ πάθος· τῶν γὰρ θεμελίων τοῦ πάθους τῆς ὑπερηφανίας διὰ τῆς ταπεινώσεως τοῦ Χριστοῦ, ἧς ἀναλογίζῃ, ὑπεξελθόντων, ὅλον τὸ οἰκοδόμημα τῆς ἀνομίας τοῦ θυμοῦ, καὶ τῆς ὀργῆς, καὶ λύπης, εὐχερῶς καὶ αὐτομάτως καταλύεται. Ποία γὰρ σκληρὰ καὶ λιθίνη καρδία ἐὰν ἔχῃ ἐν τῷ διηνεκῶς, τὴν τοσαύτην τοῦ Μονογενοῦς (1) Θεότητα, δι' ἡμᾶς ταπεινωθεῖσαν, καὶ τὴν ἀπαριθμηθεῖσαν τῶν προρρηθέντων παθημάτων μνήμην, οὐ συντρίβεται, οὐ κατανύγεται, οὐ ταπεινοῦται; οὐ γῆ καὶ σποδὸς καὶ πάτημα παρὰ πάντων ἀνθρώπων ἑκουσίως κατὰ τὴν Γραφὴν γενήσεται; οὕτω δὲ ταπεινουμένης, καὶ συντριβομένης τῆς ψυχῆς, εἰς τὴν ταπείνωσιν τοῦ Χριστοῦ ἀποσκοπούσης, ποῖος θυμὸς ταύτης κατακρατῆσαι δυνήσεται; ποία ὀργή; ποία πικρία περιγενέσθαι: Ἀλλ' ὡς ἔοικεν, ἡ λήθη τῶν συμφερόντων τούτων, καὶ ζωοποιούντων ἡμᾶς λογισμῶν, καὶ ἡ ταύτης ἀδελφὴ ραθυμία, καὶ ἡ τούτων σύνεργος καὶ ὁμότροπος ἄγνοια, τὰ βαρύτερα καὶ ἐσώτερα τῆς ψυχῆς πάθη, τὰ δυσεξεύρητα καὶ δυσκατόρθωτα, περιεργία δεινὴ τὴν ψυχὴν καλύπτοντα, καὶ σκοτίζοντα, τὰ λοιπὰ τῆς κακίας πάθη ἐνεργεῖν, καὶ ἐμφωλεύειν ἐν αὐτῇ παρασκευάζει, ὡς ἀφοβίαν καὶ ἀμέλειαν τῶν καλῶν ἐμποιοῦντα, εἴσοδόν τε, καὶ ἐργασίαν ἑκάστῳ πάθει ἀδεῶς καὶ εὐκόλως παρέχοντα· κεκαλυμμένης γὰρ τῆς ψυχῆς ὑπὸ τῆς παγκάκου λήθης, καὶ τῆς ὀλεθρίου ραθυμίας, καὶ τῆς πάντων τῶν κακῶν μητρὸς, καὶ τροφοῦ ἀγνοίας, ὑφ' ἑκάστου τῶν ὁρωμένων, ἢ νοουμένων, ἢ ἀκουομένων, εὐχερῶς προσδεσμεῖται ὁ ἄθλιος καὶ τυφλώττων νοῦς· οἷον ἐὰν κάλλος ἴδῃ γυ-

(1) Μεγαλειότητα.

ναικὸς, εὐθὺς ἐτρώθη τῇ σαρκικῇ ἐπιθυμίᾳ· καὶ οὕτω λοιπὸν διαδεξάμεναι αἱ μνῆμαι τὸ ἐμπαθῶς καὶ ἡδέως θεωρηθὲν ἢ ἀκουσθὲν, ἢ ψηλαφηθὲν, διὰ τῆς ἀνατυπώσεως τῶν ἐννοιῶν, καὶ κακῆς μελέτης ἔνδον τὰς εἰκόνας ἀναζωγραφοῦσι· καὶ οὕτως τὸν ἐμπαθῆ ἔτι, καὶ ἄθλιον μιαίνουσι νοῦν, διὰ τῆς ἐνεργείας τῶν πορνικῶν πνευμάτων· τὸ λοιπὸν γὰρ καὶ ἡ σὰρξ ἐὰν ᾖ πίων, ἢ νεάζουσα, ἢ ὑγροτέρα, ταῖς τοιαύταις μνήμαις ἑτοίμως διεγειρομένη τῷ πάθει, ἐνεργεῖ τὰ ἑαυτῆς πρὸς ἐπιθυμίαν κινουμένη· ἢ ἐνίοτε καθ' ὕπνους, ἢ καθ' ὕπαρ ἀκαθαρσίαν ἐργαζομένη, εἰ καὶ ἐν τοῖς φαινομένοις γυναικὶ οὐκ ἐκοινώνησε· σώφρων μὲν, καὶ παρθένος, καὶ ἁγνὸς παρὰ τοῖς πολλοῖς νομιζόμενος, ἢ καὶ ἁγίου ἔχων ὑπολήψεις· παρὰ δὲ τῷ τὰ κρυπτὰ ἐποπτεύοντι. βέβηλος οὗτος, καὶ ἄσωτος καὶ μοιχὸς κρίνεται· καὶ δικαίως ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατακρίνεται, ἐὰν μὴ θρηνῇ, καὶ πενθῇ, καὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ εὐχαῖς ἀδιαλείπτοις τὴν σάρκα τήξας, καὶ τὸν νοῦν ταῖς ἁγίαις μνείαις, καὶ μελέταις τοῦ λόγου τοῦ **Θεοῦ** θεραπεύσας, καὶ διορθωσάμενος, ἀξίαν μετάνοιαν τῷ **Θεῷ** προσηνέγκῳ· οὗ ἐνώπιον τὰ κακὰ ἐνενόησεν, ἢ ἐποίησεν. Ἀψευδὴς γὰρ ἡ ζῶσα φωνὴ ἡ εἰποῦσα· «ἐγὼ δὲ λέγω ἡμῖν, πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ·» διὰ τοῦτο συμβάλλεται τοῖς νέοις μάλιστα, τὸ μηδὲ ὅλως, εἰ δυνατὸν, συντυγχάνειν γυναιξὶ, κἂν ἅγιαι εἶναι νομίζονται· εἰδὲ δυνατὸν καὶ ἔξω τῶν ἀνθρώπων διάγει, ἐλαφρότερον τὸν πόλεμον διατελεῖ, καὶ τρανώτερον αἰσθάνεται τὴν ἐκ τοῦ προκοπήν· μάλιστα ἐὰν ἀκριβῶς προσέχῃ ἑαυτῷ, καὶ ὀλιγοτροφίᾳ, καὶ ὀλιγοποσίᾳ ὕδατος, καὶ ἀγρυπνίᾳ πολλῇ ἐν προσευχῇ τὴν διαγωγὴν ἔχῃ, ἀγωνιζόμενος· καὶ πνευματικοῖς ἐμπείροις πατράσι συναναστρέφεσθαι καὶ συνεῖναι καὶ ὁδηγεῖσθαι ὑπ' αὐτῶν σπουδάζων· ἐπικίνδυνον γὰρ τὸ κατὰ μόνας, καὶ ἰδιόρρυθμον, καὶ ἀμάρτυρον, καὶ μετὰ ἀπείρων τοῦ πνευματικοῦ πολέμου συζῆν· ἄλλοις γὰρ τρόποις πολεμῶν οἱ τοιοῦτοι ἁλίσκονται· ὅτι πολλά εἰσι τῆς κακίας τὰ μηχανήματα, καὶ ἔνεδρα κεκρυμμένα· καὶ διάφοροι παγίδες πανταχόθεν τοῦ ἐχθροῦ καταπεπήγασι· διὰ τοῦτο, εἰ δυνατὸν, συνεῖναι ἤγουν συνεχῶς ἐντυγχάνειν γνωστικοῖς ἀνδράσι σπουδαστέον καὶ ἀγωνιστέον· ὅπως κἂν μὴ αὐτὸς ἔχῃ λύχνον ἀληθοῦς γνώσεως, διὰ τὸ ἔτι ἀτελὲς τῆς (1) νοητῆς ἡλικίας, καὶ νήπιον, τῷ ἔχοντι συνοδεύων, μὴ περιπατῇ ἐν σκότει, μὴ κινδυνεύῃ βρόχοις, καὶ παγίσι· καὶ τοῖς νοητοῖς μὴ περιπίπτῃ θηρίοις, τοῖς ἐν σκότει νεμομένοις, καὶ τοὺς ἐν αὐτῷ χωρὶς νοητοῦ λύχνου τοῦ θείου λόγου περιπατοῦντας ἁρπάζουσι, καὶ δια-

(1) Πνευματικῆς.

φθείρουσι. Εἰ οὖν βούλει, τέκνον, οἰκεῖον λύχνον φωτὸς νοητοῦ, καὶ γνώσεως πνευματικῆς ἔνδοθεν κτήσασθαι ἵνα ἀπροσκόπτως ἐν τῇ βαθυτάτῃ νυκτὶ τοῦ αἰῶνος τούτου περιπατεῖν δυνήσῃ, καὶ ἀπὸ Κυρίου τὰ διαβήματά σου κατευθυνθῇ, ὅπως τὴν ὁδὸν τοῦ Εὐαγγελίου θελήσῃς σφόδρα, κατὰ τὸ προφητικὸν λόγιον, τοὐτέστι πίστει διαπύρῳ τῶν τελειοτέρων εὐαγγελικῶν προσταγμάτων περιέχεσθαι, καὶ τῶν παθημάτων τοῦ Κυρίου δι' ἐπιθυμίας, καὶ εὐχῆς κοινωνὸς γενέσθαι, ὑποδείκνυμί σοι μέθοδον θαυμαστὴν, καὶ ἐπίνοιαν τρόπου πνευματικοῦ· οὐ σωματικοῦ κόπου ἢ ἀγῶνος δεομένην, ἀλλὰ ψυχικοῦ πόνου, καὶ νοὸς ἐπιστασίας, καὶ προσεχοῦς διανοίας χρήζουσαν φόβῳ καὶ ἀγάπῃ Θεοῦ συνεργουμένην· δι' ἧς ἐπινοίας, τὴν φάλαγγα τῶν ἐχθρῶν εὐχερῶς τροπώσασθαι δυνήσῃ κατὰ τὸν μακάριον Δαβὶδ, ἕνα γίγαντα τῶν ἀλλοφύλων ἀνελόντα, διὰ πίστεως καὶ πεποιθήσεως τῆς εἰς Θεὸν, καὶ οὕτω τὰς μυριάδας τῶν ἐχθρῶν εὐχερῶς μετὰ τοῦ ἰδίου λαοῦ τροπωσάμενον. Ἡ δὲ ὑπόθεσις τοῦ ἡμετέρου λόγου, τρεῖς τοὺς δυνατοὺς, καὶ κραταιοὺς τῶν ἀλλοφύλων γίγαντας ὁρᾷ, εἰς οὓς ἐπεστήρικται πᾶσα ἡ τοῦ νοητοῦ Ὀλοφέρνου ἀντικειμένη δύναμις· ὧν καθαιρεθέντων, καὶ νεκρωθέντων, εὐχερῶς λοιπὸν εἰς ἀναίρεσιν πᾶσα ἡ τῶν πονηρῶν πνευμάτων ἀσθενήσει δύναμις. Εἰσὶ δὲ οἱ νομιζόμενοι τοῦ πονηροῦ ἰσχυροὶ τρεῖς γίγαντες, οἱ ἤδη προειρημένοι· ἄγνοια ἡ τῶν κακῶν ἁπάντων μήτηρ· λήθη ἡ ταύτης ἀδελφὴ, καὶ συνεργὸς καὶ συμβοηθός· καὶ ἡ τὸ σκοτεινὸν τοῦ μελανοῦ νέφους ἐπ' ὄμμα, καὶ κάλυμμα τῆς ψυχῆς ἐξυφαίνουσα ραθυμία, ἡ ἀμφοτέρας στηρίζουσα, καὶ κραταιοῦσα, καὶ σύστασιν ταύταις παρεχομένη, καὶ τῇ ἀμελεστάτῃ ψυχῇ, τὸ ἔμφυτον καὶ ἔμμονον φυτὸν κατεργαζομένη. Ὑπὸ γὰρ ραθυμίας, λήθης τε, καὶ ἀγνοίας, τὰ τῶν λοιπῶν παθῶν ὑποστηρίγματα κραταιοῦνται, καὶ μεγαλύνονται. Βοηθοὶ γὰρ ἀλλήλων οὖσαι, καὶ χωρὶς ἀλλήλων συστῆναι μὴ δυνάμεναι, ἰσχυραὶ τοῦ ἀντικειμένου δυνάμεις ἀποδείκνυνται, καὶ κραταιοὶ τοῦ πονηροῦ ἄρχοντες· δι' ὧν πᾶσα ἡ στρατιὰ τῶν πνευμάτων τῆς πονηρίας ὑπενοστεῖται, καὶ ὑποστηρίζεται, καὶ τά διανοήματα ἐκτελεῖν ἰσχύει, ὧν ἄνευ συστῆναι τὰ προειρημένα οὐ δύνανται. Εἰ οὖν βούλει κατὰ τῶν παθῶν τῶν προειρημένων τὸ νῖκος ἄραι. καὶ τὴν φάλαγγα τῶν νοητῶν ἀλλοφύλων, εὐχερῶς τροπώσασθαι δι' εὐχῆς, καὶ συνεργείας Θεοῦ ἐν ἑαυτῷ γενόμενος, καὶ εἰς τὰ τῆς καρδίας βάθη (1) δύων, ἀνίχνευσον τοὺς τρεῖς τούτους δυνατοὺς τοῦ διαβόλου γίγαντας, λήθην λέγω, καὶ ραθυμίαν, καὶ ἄγνοιαν, τὸ ὑποστήριγμα τῶν νοητῶν ἀλλοφύλων· δι' ὧν τὰ

(1) Δύσας.

λοιπὰ τῆς κακίας πάθη ὑπονοστούμενα ἐνεργεῖ, καὶ ζῇ, καὶ ἐνισχύει ἐν ταῖς τῶν φιληδόνων καρδίαις, καὶ ἀπαιδεύτων ψυχαῖς· καὶ διὰ πολλῆς προσοχῆς, καὶ νοὸς ἐπιστασίας, μετὰ τῆς ἄνωθεν ροπῆς, εὑρὼν τὰ τοῖς λοιποῖς ἀγνοούμενα, καὶ μήτε εἶναι νομιζόμενα, ὀλεθριώτερα δὲ τῶν λοιπῶν ὄντα κακὰ, διὰ τῶν τῆς δικαιοσύνης ὅπλων τῶν ἀπ' ἐναντίας ἐκείνων, μνήμης ἀγαθῆς λέγω τῆς πάντων τῶν καλῶν αἰτίας, καὶ γνώσεως πεφωτισμένης, δι' ἧς ἀναγρηγοροῦσα ἡ ψυχὴ, τὸ τῆς ἀγνοίας σκότος ἐκδιώκει ἀφ' ἑαυτῆς, καὶ προθυμίας ἀρίστης πρὸς σωτηρίαν εὐτρεπιζούσης καὶ ἐπειγούσης τὴν ψυχήν. Ταῦτα τῆς ἀρετῆς ἐνδυσάμενος τὰ ὅπλα, ἐν δυνάμει Πνεύματος Ἁγίου, διὰ πάσης προσευχῆς καὶ δεήσεως, γενναίως καὶ ἀνδρείως καταγωνίσῃ τῶν νοητῶν ἀλλοφύλων τοὺς προειρημένους τρεῖς γίγαντας· διὰ μὲν τῆς ἀρίστης κατὰ Θεὸν μνήμης, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, πάντοτε λογιζόμενος, τὴν παγκάκιστον λήθην ἀφ' ἑαυτοῦ ἐκδιώκων· διὰ δὲ τῆς πεφωτισμένης καὶ οὐρανίου γνώσεως, τὴν ὀλέθριον ἄγνοιαν τοῦ σκότους ἐξαφανίζων· διὰ δὲ τῆς παναρέτου καὶ καλλίστης προθυμίας, τὴν ἄθεον καὶ τὸ ἔμφυτον κακὸν ἐν τῇ ψυχῇ κατεργαζομένην ραθυμίαν ἐξελαύνων. Ταύτας δὲ τὰς ἀρετὰς, οὐ ψιλῆς ἐκ μόνης προαιρέσεως, ἀλλ' ἐκ δυνάμεως Θεοῦ, καὶ συνεργείας Πνεύματος Ἁγίου, ἐν πολλῇ (1) προσεσχείᾳ, καὶ εὐχῇ κτησάμενος, οὕτω δυνήσῃ τῶν προειρημένων ἰσχυρῶν ρυσθῆναι τοῦ πονηροῦ τριῶν γιγάντων. Γνώσεως γὰρ ἀληθοῦς, καὶ μνήμης λόγων Θεοῦ, καὶ ἀγαθῆς προθυμίας συμφώνως, διὰ χάριτος ἐνεργοῦς, ἐν ψυχῇ συστῆναι βιαζομένη, καὶ ἐπιμελῶς φυλασσομένη, λήθης καὶ ἀγνοίας, καὶ ραθυμίας ἴχνος ἐξ αὐτῆς ἀφανίζει καὶ εἰς τὸ μὴ ὂν περιίστησι· τῆς χάριτος λοιπὸν βασιλευούσης ἐν αὐτῇ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἅγιος μάρτυς ΕΥΛΟΓΙΟΣ *ὁ ἐν Παλαιστίνῃ ξίφει τελειοῦται.*

»Τὸν Εὐλόγιον εὐλογῆ πᾶσα κτίσις,
»Κτίστου χάριν σου τὴν κάραν τετμημένον.

Ὁ ἅγιος μάρτυς ΕΥΛΑΜΠΙΟΣ *ὁ ἐν Παλαιστίνῃ ξίφει τελειοῦται.*

»Τράχηλον Εὐλάμπιος ἐκτμηθεὶς ξίφει,
»Τραχηλιῶσαν δυσσέβειαν αἰσχύνει.

Ὁ ἅγιος μάρτυς ΑΡΧΕΛΑΟΣ *καὶ οἱ σὺν αὐτῷ ἑκατὸν πεντήκοντα δύο μάρτυρες, ξίφει τελειοῦνται.*

»Θεὶς πρῶτος Ἀρχέλαος αὐχένα ξίφει,
»Ἄρχει τομῆς σοι λαὲ θεῖε Κυρίου.

(1) Προσοχή,

Ὁ ἅγιος νεομάρτυς ***ΙΩΑΝΝΗΣ*** *ὁ* ***Βούλγαρης****, ὁ* ***ἐν Κωνσταντινου-πόλει μαρτυρήσας ἐν ἔτει ᾳψπδ'*** (1784) ***ξίφει τελειοῦται.***

»Σταυρόν τι τυποῖς, ὦ Ἰωάννη μάκαρ ;
Ὅτι μαθητὴς εἰμὶ φησί, Κυρίου.

Οὗτος ὁ μακάριος ἦτον ἀπὸ τὴν Βουλγαρίαν, νέος τὴν ἡλικίαν ἕως δεκαοκτὼ χρόνων, ὡραῖος εἰς τὴν ὄψιν, ἔχων καὶ πεῖραν γραμμάτων· ἀπὸ δὲ περίστασίν τινα ὅπου τοῦ ἠκολούθησεν, ἠρνήθη φεῦ! τὸν Χριστόν· ὕστερον ὅμως ἀπὸ ὀλίγον καιρὸν ἐλθὼν εἰς αἴσθησιν τοῦ κακοῦ ὅπου ἔπαθε, μετενόησε καὶ ἀναχωρήσας ἀπὸ τὴν πατρίδα του, ἐπῆγεν εἰς τὸ Ἅγιον ὄρος, καὶ ἐστάθη μέσα εἰς τὴν μεγίστην Λαύραν τοῦ ἁγίου Ἀθανασίου τρεῖς χρόνους, ὑπηρετῶν ἕνα πνευματικὸν γέροντα κουλοχέρην, καὶ καταγινόμενος εἰς ἀναγνώσεις τῶν ἱερῶν βιβλίων. Ἐπειδὴ δὲ ἡ συνείδησις τὸν ἔτυπτε διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ ὅπου ἔκαμεν, ἐπεριπάτει πάντοτε σκυθρωπὸς, λυπημένος καὶ σιωπηλὸς,εἰς τρόπον ὅπου καὶ ἀπὸ τὸ ἔξω πενθικὸν σχῆμα του, ἔδειχνεν εἰς τοὺς ὁρῶντας, πῶς ἔπαθε κἄποιον μεγάλον κακόν. Ἐν μιᾷ λοιπὸν τῶν ἡμερῶν προφασιζόμενος, ὅτι ἔχει νὰ ὑπάγῃ εἰς τὴν πατρίδα του, ἀναχωρεῖ ἐκεῖθεν, καὶ πηγαίνει εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐκεῖ φορεῖ φέσι κόκκινον εἰς τὴν κεφαλὴν, καὶ κόκκινα ὑποδήματα εἰς τοὺς πόδας, καὶ πηγαίνει μὲ τοιοῦτον σχῆμα μέσα εἰς τὸ τζαμὶ τῆς Ἁγίας Σοφίας,καὶ κάμνει τὸ σημεῖον τοῦ τιμίου σταυροῦ, καὶ προσκυνεῖ κατὰ τὴν συνήθειαν τῶν χριστιανῶν· βλέποντες δὲ αὐτὸν οἱ ἐκεῖσε εὑρισκόμενοι ἀγαρηνοὶ ἐταράχθησαν, καὶ δραμόντες κατ' αὐτοῦ, τὸν ἠρώτησαν μὲ σκληρότητα, διατὶ κάμνει οὕτω ; αὐτὸς δὲ ὁ ἀοίδιμος μὴ δειλιάσας ὡμολόγησεν, ὅτι εἶναι χριστιανὸς, καὶ ὡς χριστιανὸς κάμνει τὸν σταυρόν του, καὶ προσκυνεῖ τὸν Χριστὸν, ὅπου εἶναι ἀληθινὸς υἱὸς τοῦ Θεοῦ, καὶ Θεός· ἐπάσχισαν νὰ τὸν διαστρέψουν μὲ διαφόρους τρόπους, ἀλλὰ δὲν ἐστάθη τρόπος· τέλος, βλέποντες τὸ ἀμετάθετον τῆς γνώμης του, τὸν ἀπεκεφάλισαν ἔξω ἀπὸ τὴν αὐλὴν τοῦ ρηθέντος τζαμίου, καὶ οὕτως ἔλαβεν ὁ ἀοίδιμος τοῦ μαρτυρίου τὸν στέφανον παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Τῷ αὐτῷ μηνὶ ς'. μνήμη τῶν ἁγίων μεγάλων μαρτύρων τεσσαράκοντα δύω, τῶν ἐν Ἀμορίῳ ὑπὸ τῶν Σαρακηνῶν μαρτυρησάντων, ΘΕΟΔΩΡΟΥ, ΚΩΝΣΤΑΝΤΙΝΟΥ, ΚΑΛΛΙΣΤΟΥ, ΘΕΟΦΙΛΟΥ, *ΒΑΣΣΩΗ καὶ τῶν σὺν αὐτοῖς, ἀθλησάντων εἰς τὰ Σάμαρα τῆς Ἀσίας πλησίον τοῦ Εὐρίπου ποταμοῦ, ἐν ἔτει* 848 *ἀπὸ Χριστοῦ.*

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως εὐφημήσει, καὶ ἱκανῶς αἰνέσει Ἀλέξιε θεόφρον; τὴν σωφροσύνην, τὴν ὑπομονήν, τὴν πραότητα, τὴν ἐγκράτειαν, τὸν ἀκατάπαυστον ὕμνον, τὴν ἄκραν σκληραγωγίαν, τὴν ἄμετρον ταπείνωσιν, δι' ὧν Ἀγγέλοις ἐφάμιλλος γενόμενος, πρεσβεύεις ἀεὶ ὑπὲρ τοῦ κόσμου παντός. Διὸ ἀκούεις, ὅσιε, παρὰ πάντων πιστῶν. Χαίροις ὁσίων τερπνὸν ἐγκαλλώπισμα. Συναξάριον.

Τῇ ΙΖ'. Μαρτίου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Στίχοι.

Ἄνθρωπος ἐν γῇ τοῦ Θεοῦ κληθείς, μόνος,
Ἔξεις τί καινὸν κἂν πόλῳ, Πάτερ, μόνος.
Ἑβδομάτῃ δεκάτῃ, Ἀλέξιε, πότμον ἀνέτλης.

Ὠδὴ Ζ'. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀνθρωπίνως σε τοῦ βίου, Πάτερ ὅσιε, δέον ἐξέρχεσθαι, χάρτην λαβών, ἐν αὐτῷ, ὅστις εἶ, ἐδήλωσας σαφῶς, εἰς δόξαν Θεοῦ, καὶ εὐφρόσυνος παρέδωκας τῷ πνεύματί σου τῷ Θεῷ εἰς τοὺς αἰῶνας.

Λόγος ἄνωθεν ἠχήσας, συνεκάλεσε Ρώμης οἰκήτορας πάντας, ὁμοῦ συνελθεῖν, Θεόφρων Ἀλέξιε, πρὸς τὴν κηδείαν σου, ἀποδόσαντας σοί τε τιμὴν τὴν πρέπουσαν, καὶ τῷ πάντων κτίστῃ δόξαν.

Ἔνθους ἔφριξεν ἄναξ ὁ εὐσεβέστατος, τὰ κατὰ σὲ ἐπιγνούς· ὅθεν πρὸς τὸ σκῆνός σου σπεύσας, τὸν εὔσχημον χάρτην ἔλαβε, καὶ ἀναγνοὺς ἀνέκραξεν. Ὁ Θεὸς εὐλογητὸς εἶ. *Θεοτοκίον.*

Ξένην δύναμιν, Παρθένε, σοὶ παρέσχετο, σάρκα ἐκ σοῦ προσλαβών, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ σωμάτων Κύριος· διὸ θεράπευσον τοὺς κραυγάζοντας. Εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ ἡ. Παῖδες εὐαγεῖς.

Ἰδεῖν πᾶσα πόλις σε Ῥωμαίων ποθοῦσα, συντόνως κατηπείγετο. ἄναξ δὲ προσέταξεν ἐν τῷ ναῷ τεθῆναί σε, κἀκεῖ πάντας ἀρύεσθαι νόσων ἰάματα, καὶ χαίρειν διὰ σέ, καὶ δοξάζειν τῶν Δεσπότην πάντων, εἰς πάντας τοὺς αἰῶνας.

Ὡράθης φαιδρότατος τὴν ὄψιν, ἐκλάμπων, φωτοειδής τις ὥσπερ Ἄγγελος· Δαίμονες ἠλαύνοντο, νόσοι ἐδιώκοντο, τυφλοὶ τὸ φῶς ἀνέβλεπον, καὶ ἀνορθοῦντο χολοί, πᾶς κεκακωμένος ἰάθη, χαίρων, εὐλογῶν, δοξάζων Χριστὸν εἰς τοὺς αἰῶνας.

Κηδεῦσαι τὸ σκῆνός σου ἡ πόλις συνῆλθε μετ' εὐλαβείας, προσκομίζουσα ἄσματα ἐξόδια· βασιλεῖς καὶ ἄρχοντες παρίσταντο γεραίροντες, καὶ μιναχῶν ἡ πληθύς· χοροί σε ἱερέων ἐκύκλουν καὶ ἀρχιερέων, ὑμνοῦντες τὸν Σωτῆρα. *Θεοτοκίον.*

Ἀπὸ τῆς αὐτοῦ φιλανθρωπίας, καὶ μόνης ὑπεραπείρου ἀγαθότητος, ὁ Θεὸς καμπτόμενος, διὰ σοῦ ἐπέφανε τοῖς ἐπὶ γῆς θεόνυμφε, σωματωθεὶς ἀληθῶς, καὶ πάλιν διὰ σοῦ οἰκειοῦται τοὺς ὁμολογοῦντας ἀεί σε Θεοτόκον. *Ὠδὴ Θ'. Ἅπας γηγενής.*

Ὁδὸν εὐθαλῆ ἐκ Ῥώμης ἐβλάστησας, καὶ εὐωδιάσας πᾶσαν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι κλειζόμενος, καὶ ἀρετῶν ἀκρότησι καλλωπιζόμενος· διὸ πᾶσα τῶν πιστῶν γεραίρει σε Ἐκκλησία, λαμπρῶς εὐφημοῦσά σε. Ἴδες ἅπερ ζῶν, ἐπόθεις οὐράνια, Πάτερ σκηνώματα· ὡς γὰρ ἐξεδήμησας, ἐδέξαντό σε ἅγιοι Ἄγγελοι, σὺν Ἀποστόλοις Μάρτυρες, Ἱεραρχῶν τε χοροί, σὺν Προφήταις Ὅσιοι καὶ Δίκαιοι, καὶ Χριστὸς ὁ Θεὸς ἐστεφάνωσε.

Λάμψεσιν ἀεὶ τῆς ἁγίας κάρας σου, Λαύρα, νῆσος Πέλοπος, σὸν σκήνωμα Πάτερ, καταυγάζεται, καὶ ἐμφαιδρύνεται βολαῖς ταῖς τῶν θαυμάτων σου, καὶ πᾶσα χώρα πιστῶν ἐκβοᾶσαι: Χαίροις πανοίδιμε, ὁσιότατε πάτερ Ἀλέξιε.

Ὄρεξον κἀμοὶ τὴν θείαν βοήθειαν, θερμαῖς πρεσβείαις σου· πρόφθασον, καὶ ῥῦσαί με νόσου βαρείας ψυχῆς καὶ σώματος· καὶ δὸς τῷ σῷ θεράποντι, ποιεῖν ἑκάστοτε, τοῦ Κυρίου τὰ σεπτὰ θελήματα, θεοδόξαστε πάτερ Ἀλέξιε. *Θεοτοκίον.*

Ὑ"ψιστον Θεὸν, σωτῆρα κυήσασα τὸν πανοικτίρμονα, οἰκτειρον τὸν δοῦλόν σου, πρὸς μετανοίας τρίβους ὁδήγησον, τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον, τῶν αὐτοῦ με ἐνεδρῶν περίζωσε, καὶ πυρὸς αἰωνίου ἐξάρπασον. Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὦ θαῦμα! πῶς ἐν πυλῶσι σῶν γεννητόρων χρονίως, ὡς τις ἀδάμας, ὑπέστης, φύσεως βία μὴ καμφθεὶς, γονέων τε καὶ συζύγου Ἀλέξιε, πικροὺς θρήνους; Θεοτοκίον.

Χρυσοπλοκώτατε πύργε.

Εν τοῖς αἴνοις.

Ψάλλομεν τὰ ἐφεξῆς Προσόμοια στιχηρά. ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε συμφώνως ἐν ὕμνοις πιστοὶ τιμήσωμεν, τὸ μέγα τῶν πατέρων, καὶ ὅσίων τὸ κλέος, Ἀλέξιον τὸν ὄντως ἄνθρωπον τοῦ Θεοῦ, ὃν ἀκηράτοις χαρίσμασιν, ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, ἐθαυμάστωσεν ὁ Κύριος.

Οἱ ἀσθενείαις βαρείαις ἐξεταζόμενοι, προσέλθετε προθύμως, Ἀλεξίῳ τῷ πάνυ· οὗτος γὰρ ἰᾶται πάντων τῶν πιστῶν πάθη τὰ χαλεπώτατα, ῥῶσιν παρέχων βεβαίαν τοῖς πρὸς αὐτὸν προσιοῦσιν ἀδιστάκτῳ ψυχῇ.

Ὡς παρρησίαν μεγίστην, τῶν πόνων ἔπαθλον, ἔχων πρὸς τὸν Δεσπότην, ἱκετεύων μὴ παύσῃ, ῥυσθῆναι τῶν σκανδάλων τοῦ πονηροῦ, κοσμικῶν τε κακώσεων, τοὺς σοὺς ἱκέτας, ὦ ἄνθρωπε τοῦ Θεοῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῆς εὐσεβείας οἱ παῖδες πόθῳ συντρέχουσιν, Ἀλέξιε τρισμάκαρ τὴν ἁγίαν σου μνήμην, πίστῶς πανηγυρισαι, ὑμνοῦντες Θεόν, ἐν ᾠδαῖς τε καὶ ἄσμασι, τὸν θαυμαστὸν ἐν ἁγιοις, ὃς ἐκπληροῖ τὰς εὐχὰς τῶν φοβουμένων αὐτόν.

Σήμερον τέρπεται πᾶσα ἡ Πελοπόννησος, καὶ πόλις Καλαβρύτων, σὺν τῇ ἁγίᾳ Λαύρᾳ, πλουτούσῃ τὴν σὴν κάραν, εἰς δόξαν Χριστοῦ τοῦ σὲ Πάτερ δοξάζοντος, καὶ δι' αὐτῆς ἐνεργοῦντος πᾶσι πιστοῖς τῶν θαυμάτων τὰ παράδοξα. Δόξα. ἦχος πλ. ά.

Ἀδαμάντινε τὴν ψυχήν, πῶς σε κατ' ἀξίαν ἐπαινέσωμεν, σὺ γὰρ μέτρα φύσεως ὑπερέβης, ὑποστὰς ὡς ἄσαρκος πάντα κόπον, πόνον, καὶ ἀνθρωπίνης καρδίας. Φίλτρων ἐκαρτέρεις ὀδύνας, φιλοστοργίας σπαραγμούς, συγγενείας πόθον, οἰκετῶν παροινίας, ἀσκήσεως ἀγῶνας, σκληραγίας βασάνους. Ξένος ἔζης, ἐν τῇ πατρίδι, ἄγνωστος ἐν τοῖς οἰκείοις, ἀσώματος ἐν σαρκί. Ἐν πίστει μέγας, ἐν ταπεινώσει θαυμαστός, ἐν πειρασμοῖς ἀκράδαντος, ἐν πᾶσιν ἄθλοις νικηφόρος. Ἅγιε Ἀλέξιε πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον. Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΛΕΞΙΟΝ ΤΟΝ ΑΝΘΡΩΠΟΝ ΤΟΥ ΘΕΟΥ
Ψαλλόμενος ὑπὲρ νοσούντων καὶ παντοίως θλιβομένων.

(Ποίημα Διονυσίου ἱερομονάχου τοῦ Λαυσαϊτου)

Ἦχος Δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Οἱ ἐπηρείαις τῶν δεινῶν χειμαζόμενοι, καὶ συνοχῇ τῶν παθημάτων θλιβόμενοι, νῦν προσδραμόντες Ἅγιε τῇ κάρᾳ τῇ σῇ, κράζομεν Ἀλέξιε, σὲ θερμῶς δυσωποῦντες: Λύτρωσαι τοὺς δούλους σου, ἐκ φθορᾶς καὶ θανάτου, ὡς χάριν ταύτην ἔχων ἐκ Θεοῦ, ἰᾶσθαι πάθη, καὶ σώζειν τοὺς κάμνοντας.

Δόξα, καὶ νῦν. Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε.

Εἶτα ὁ Ν'. καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς:

«Ἐν σοί, Θεοῦ ἄνθρωπε, εὐεκτεῖν ἔχω».

Ἦχος πλ. Δ'. Ἁρματηλάτην Φαραώ.

Ἐπαγωγὲ τῶν συμφορῶν Ἀλέξιε, καὶ τρικυμίαι παθῶν, ἐξ ἁμαρτιῶν μου πάντοθεν συνέσχον με, καὶ μαστιγοῦσιν Ἅγιε, καὶ πικρῶς ὀδυνῶμαι, καὶ κινδυνεύω πρὸς θάνατον· σῶσόν με λιταῖς ταῖς σαῖς, δέομαι.

Νενοσηκυίας ἐξ ἀτόπων πράξεων, τῆς ταπεινῆς μου ψυχῆς, ὀδυνηρὰ πάθη τὸ δύστηνον σῶμά μου παντοίως βασανίζουσι· καὶ στενάζω καὶ κράζω: Χριστοῦ θεράπων Ἀλέξιε, σπεῦσον, ἀπολλύμενον σῶσόν με.

Σὲ ἀκεσώδυνον πηγὴν ἰάσεων ἀναδειχθέντα λαμπρῶς, ὡς τοῦ Θεοῦ δοῦλον, ἅγιε Ἀλέξιε, καθικετεύω, ἴασαι τῆς ψυχῆς καὶ σαρκός μου, ταῖς σαῖς πρεσβείαις, τοὺς μώλωπας, ὅπως σὲ γεραίρω σωζόμενος. Θεοτ.

Ὁμολογοῦντες εὐσεβῶς μητέρα σε τοῦ εἰληφότος ἐκ σοῦ ὑπερφυῶς σάρκα, καὶ ἀνάρχως λάμψαντος ἐκ τοῦ Πατρὸς, κηρύττομεν Θεοτόκον σε κόρη, καὶ δυσωποῦμεν, διάσωσον χαλεπῶν κινδύνων τοὺς δούλους σου.

Ὠδὴ Γ'. Οὐρανίας ἀψίδος.

Ἱκετεύων μὴ παύσῃ τὸν ἀγαθὸν ἅγιε, καὶ γλυκὺν Δεσπότην, συγγνώμην δοῦναι πταισμάτων μοι τῶν χαλεπῶν καὶ πολλῶν καὶ τοῦ νοσοῦντος σαρκίου τὴν ταχεῖαν ἴασιν, ὅπως γεραίρω σε.

Θεαρέστως βιώσας, θαυμαστῶς ἰσάγγελλον πολιτείαν ἤνυσας, Πάτερ, καὶ μετά σώματος, καὶ τὰς ἰάσεις μισθὸν παρὰ Θεοῦ ἐκομίσω, τοὺς πιστῶς προσιόντας σώζων Ἀλέξιε.

Ἐν ᾠδαῖς τε καὶ ὕμνοις ἀνευφημῶν ὅσιε, σοῦ τὴν πολιτείαν γεραίρω καὶ τὰ θαυμάσια, καὶ τῶν πικρῶν ὀδυνῶν ταχύν σε, Πάτερ, σωτῆρα ἐκ Θεοῦ μοι φαινῆναι, καθικετεύω σε. Θεοτοκίον.

Ὁ πολλαῖς ἁμαρτίαις καταχρασθείς, ἄχραντε, τέτρωμαι ψυχήν τε καὶ σῶμα, τάλας καὶ βέβλημαι, καθηλκωμένος δεινῶς· ἀλλὰ τῇ σῇ προστασίᾳ, οἰκτιρμῶν ἡ ἄβυσσος, σῶσόν με, δέομαι.

Διάσωσον ἀπὸ κινδύνων, Ἀλέξιε, σοὺς ἱκέτας, ὅτι πάντες πανευλαβῶς εἰς σὲ καταφεύγομεν, ὡς ἄφθονον κρήνην τῶν ἰαμάτων.

Ἐπίβλεψον ἐν εὐμενίᾳ πανύμνητε Θεοτόκε. κτλ.

Καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ Κοντάκιον: Πρεσβεία θερμή.

Τῇ κρήνῃ τῶν σῶν θαυμάτων νῦν, *Ἀλέξιε, προστρέχω βοῶν, ὀδύνῃ συνεχόμενος: Τῆς σαρκὸς τὰ τραύματα,καὶ ψυχῆς τὴν πώρωσιν ἴασαι, καὶ τῶν δεινῶν με σῶσον σαῖς λιταῖς, τιμῶντα σεπτῶς τὴν θείαν κάραν σου.* *Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.*

Ὑμνους κροτῶ κείμενος, *Πάτερ, ἐν κλίνῃ μου, τοῖς ἐκ λάκκου, οἴμοι! καταβαίνουσιν ὁμοιωθείς, ὥσπερ ὁ Δαβὶδ ψάλλει, καὶ συγγνώμην αἰτοῦμαι, ὧν περ ἐξήμαρτον Θεῷ, καὶ θεραπείαν τῶν παθῶν τῆς σαρκός μου, σαῖς πρεσβείαις, τρισμάκαρ Ἀλέξιε.*

Νάμα κρουνῶν, *ὡς ἀπὸ κρήνης ἀκήρατον, τῆς σωροῦ σου, Πάτερ μεγαλώνυμε, θαυματουργέ, βρύων ἀεννάως, φλογώσεις ψυχῆς καὶ σώματος δροσίζει, καὶ πραΰνει, τῶν παθῶν τὰς ὀδύνας θεραπεύων, καὶ σῶζον τοὺς κάμνοντας.*

Ἄνωθεν σὺ, *ἄνθρωπος Θεοῦ, Ἀλέξιε, προσεκλήθης, ἀναγορευόμενος θείᾳ φωνῇ νόσων ἰατρὸς, φερώνυμε Πάτερ, καὶ πρόσφορος ἀλεξίκακος, πιστῶν τοῖς κεχεκτοῦσι· διὸ παρακαλῶσε, πυρετοῦ καὶ ῥιγώσεως ῥῦσαί με.*

Θλίψεις πολλαὶ, *καὶ πλήρεις πόνων Ἀλέξιε, ὀδυνῶν τε σκῆνος, ὥσπερ κηρὸν, τὸ ἐλεεινὸν λῃψανον ζωῆς μου προσφῦσαι καταβιβρώσκουσιν, εἰς ἅδου κατωτάτου κατασπᾶν ἀπειλοῦσαι. Πρόφθασον ἐκ τούτων καὶ σῶσόν με.* *Θεοτοκίον.*

Ῥεῦμα φθορᾶς *φύσεως βροτῶν ἀνέστειλας Θεοτόκε, Λόγον σωματώσασα, τὸν ἐκ Πατρὸς, ὥσπερ ἐκ φωτὸς αἴγλη γεννηθέντα, καὶ σώσαντα τὸ ἀνθρώπινον· διὸ σὲ ἱκετεύω, χαλεποῦ με κινδύνου, καὶ κακώσεως ῥῦσαι πρεσβείαις σου.* *Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ὡς πηγὴ παραδείσου *τῆς Ἐδὲμ ἐκβλύζουσα, πάτερ Ἀλέξιε, τῶν πολλῶν θαυμάτων ἡ δοθεῖσά σοι χάρις ἐκκέχυται, ποτίζουσα καρδίας, καὶ ψυχῶν καὶ σωμάτων ἰωμένη τὰς νόσους ἑκάστοτε.*

Πᾶσα πεῖρα *γηΐνης ἰατρείας ἄπρακτος ὅλως ἐξήλεγκται ἐν ἐμοί, καὶ κεῖμαι, φεῦ! τὰ λοίσθια πνέων ὁ δείλαιος· ἀλλά σοι τῷ σωτῆρι, ἐκ Θεοῦ δεδομένῳ, προσελθὼν ἱκετεύω σωθῆναί με.*

Ἐπὶ κλίνης *ὀδύνης, καὶ στρωμνῆς κακώσεως κείμενος, κράζω σοι: Ἐξελοῦμαι, Πάτερ, τῶν παμφάγων ὀδόντων, Ἀλέξιε, τοῦ πικροῦ θανάτου, ὁ παρειμένος ἀνορθώσας, καὶ παντοίως νοσοῦντας ῥυσάμενος.*

Ἐνοικήσας *Θεός σοι, πᾶσαν ὁ ἰώμενος νόσον, Ἀλέξιε, ὡς εὑρών σε ὄντως ἐνδιαίτημα θεῖον, ἀνέδειξε νόσων ἰατῆρα· ὃν κάμοὶ τῷ δυστήνῳ ἐξιλέωσον, Πάτερ, σωθῆναί με.* *Θεοτοκίον.*

Ὑμνος ἅπας *ἡττᾶται, Δέσποινα παντάνασσα, μὴ ἐξικνούμενος σοῦ τὰ μεγαλεῖα διηγήσασθαι τὰ ὑπερένδοξα. Ἀγγέλων καὶ ἀνθρώπων γενεαί σε καὶ τάξεις, εἰς αἰῶνας ἀεὶ μακαρίζουσι.*

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐτάκησαν *ὡς κηρὸς τὰ μέλη μου, καὶ ὡς ἄνθος τοῦ ἀγροῦ ἐμαράνθη πᾶσα σάρξ, καὶ ἐκλείπει τὸ πνεῦμά μου, καὶ ἡ ψυχή μου τῷ ᾅδῃ προσ-*

ἠγγισεν Ἀλέξιε· ἀλλ' ἐπιστάς, ἐκ φθορᾶς καὶ θανάτου με λύτρωσαι.

Κακώσεων τὸν ἐσμὸν Ἀλέξιε, καὶ πληθὺν τῶν συμφορῶν καὶ βασάνων, ὅσαι δεινῶς τὴν ἀθλιάν ζωήν μου, καὶ τὴν οἰκτράν μου ψυχὴν κατατρύχουσιν, ἐξάλειψον, ἐκδυσωπῶν τὸν Θεὸν καὶ σωτῆρα καὶ πλάστην μου.

Τὰ φάρμακα ἐπ' ἐμοὶ ἀνόνητα ἐξηλέχθη, καὶ μηδὲν ὠφελοῦντα, καὶ πρὸς τὸ χεῖρον ἡ νόσος προβαίνει· διὸ τῇ θείᾳ σου σκέπῃ προσέδραμον Ἀλέξιε, ταῖς σαῖς εὐχαῖς, συμπαθέστατε ῥῶσιν παράσχου μοι,

Ἐπίχεε ἐπ' ἐμὲ τὸν ἔλεον, καὶ τὴν χάριν τῶν πολλῶν σου θαυμάτων, ὅσα Θεός σε δοξάζων δωρεῖται, τοῖς προσιοῦσι δεικνὺς ἀλεξίκακον Ἀλέξιε, καὶ πονηρᾶς ἐκ στρωμνῆς με κακώσεως ἔγειρον.

Θεοτοκίον.

Ἰώμενον τῶν ἀνθρώπων ἅπασαν νεκμηκυῖαν παραβάσει τὴν φύσιν, καὶ αἰωνίου θανάτου λυτροῦντα, τὸν ἐκ Θεοῦ Θεὸν λόγον πιστεύομεν ἐκ σοῦ τεχθέντα ἐν σαρκὶ, Θεοτόκε Παρθένε πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων, Ἀλέξιε, σοὺς ἱκέτας, ὅτι πάντες πανευλαβῶς εἰς σὲ καταφεύγομεν, ὡς ἄφθονον κρήνην τῶν ἰαμάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ . . . Εἶτα μνημονεύει ὁ ἱερεύς.

Προστασία τῶν χριστιανῶν.

Τὴν σεπτήν σου κάραν θησαυρὸν ἀλεξίκακον κεκτημένοι, σὲ πρέσβυν πρὸς Θεὸν προβαλλόμεθα· μὴ παρίδῃς σοὺς ἱκέτας ἄνθρωπε τοῦ Θεοῦ, ἀλλὰ τάχυνον ὡς συμπαθὴς, εἰς τὴν ἀντίληψιν ἡμῶν τῶν πιστῶς δεομένων σου· πρόφθασον ἐν ἀνάγκαις, καὶ σπεῦσον εἰς θεραπείαν, ἐπικαμπτόμενος λιταῖς τῶν τιμώντων σε Ἀλέξιε.

Εἶτα. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Εὐαγγέλιον: Ἐν ταῖς ἡμέραις ἐκείναις.

Καὶ τοῦ ὁσίου: Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς.

(Ὃ λέγεται καὶ τῶν ἁγίων Ἀναργύρων.)

Δόξα. Ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'.

Μή με χειμαζόμενον ἐν ἀπορείαις παντοίαις, καὶ κατατρυχόμενον ἀλγειναῖς ὀδύναις ψυχῆς καὶ σώματος, σὺ στερήσῃς ἅγιε, σῆς ἐπισκέψεως ἀλλ' οἰκτείρας με τὸν δείλαιον, δέξαι τὴν δέησιν, ἣν ἀπὸ καρδίας προσάγω σοι· Θεὸς γάρ σε παράκλησιν καὶ παραμυθίαν πιστοῖς παρέσχεν. Ὅθεν κατωδύνως κραυγάζω σοι θεράπων τοῦ Χριστοῦ: Μή με παρίδῃς τὸν ἄθλιον, ἀλλὰ σπεύσας ἴασαι.

Οὐδεὶς προστρέχαν ἐπὶ σέ. κτλ.

Ὁ ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Νέφος τῶν θλίψεων πυκνόν μου τὴν ταλαίπωρον ψυχὴν κατακαλύπτει, καὶ πικρῶν ὀδυνῶν ἡ μάστιξ καταικίζει τὸ σῶμά μου τὸ δύστηνον. Οἰκτειρόν με, ῥῦσαι Πάτερ.

Ἔχων θεόθεν σὺ τὴν χάριν τῶν ἰάσεων Ἀλέξιε τρισμάκαρ, θεραπείας κἀμὲ ἀξίωσον, καὶ ῥῦσαι ἀμηχανίας, ἅγιε, χαλεπῆς ἐκδυσωπῶ σε.

Χεῖρά μοι ὄρεξον, ἐν κλίνῃ τῆς κακώσεως οἰκτρῶς κατακειμένῳ, καὶ καλοῦντι τὴν σὴν ἀντίληψιν ὦ πάτερ· ἀντιλαβοῦ μου, σῶσόν με, φερωνύμως θεραπεύσας.

Ὤ"ξεσαν, οἴμοι τῷ ἀθλίῳ! καὶ ἐσάπησαν σαρκὸς οἱ μώλωπές μου, καὶ ἐλπίς μου οὐκ ἔστι σωτηρίας. Σύ με φθορᾶς διάσωσον, ὦ θεράπων τοῦ Κυρίου. Θεοτοκίον.

Δέσποινα πάντων, Δέσποινά μου, Θεοτόκε, ἡ τεκοῦσα τὸν σωτῆρα καὶ Θεόν μου καὶ πλάστην, σαῖς πρεσβείαις αὐτόν μοι ἐξιλέωσαι, τῷ πολλὰ ἡμαρτηκότι. Ὠδὴ ἡ. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἴ"λεώς μοι προσβλέψας οὐρανόθεν, πιστῶς ἱκετεύω, ὦ ἄνθρωπε Κυρίου, τὰ χαλεπὰ καὶ χρόνια ἰώμενος πάθη σου, πρεσβείαις πρὸς τὸν Δεσπότην ζωῆς τε καὶ θανάτου.

Ὀ'δυνῶμαι δεινῶς, καὶ θεραπείας ἐξ ἀνθρώπων θνητῶν ἀπάσης ἀποροῦμαι. Σὲ δυσωπῶ Θεοῦ θεράπων ἅγιε, πρόφθασόν με, ἔγειρον τῆς κλίνης, καὶ ῥῶσίν μοι παράσχου.

Νοσημάτων παντοίων τὸ σῶμά μου κεῖται πάτερ, μεστόν, παρεῖταί μου τὰ μέλη, σάρκας, ὀστᾶ, τὰ νεῦρα πόνοι βόσκονται. Ἐλέησον, ὦ Πάτερ, σὸν πιστὸν ἱκέτην, καὶ ἴασαί με τάχος Θεοτοκίον.

Ὑ'περένδοξε Μῆτερ τοῦ Θεοῦ μου, οὐρανοῦ τε καὶ γῆς καὶ κτίσεως ἁπάσης ἡ βασιλίς, ἡ τῶν πιστῶν ἀντίληψις, ὑμνῶ σε μετ' ἀγγέλων, δοξάζω μετ' ἀνθρώπων, λατρεύων τὸν Υἱόν σου.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Σωτῆρά σε καμνόντων καὶ λυτρωτὴν, ὁ Θεὸς τοῖς πιστοῖς ἐδωρήσατο, πάθη ψυχῶν, καὶ σωμάτων ἄλγη παντοδαπά, ἰώμενος Ἀλέξιε, ἄνθρωπε Κυρίου, διὸ θερμῶς· ὦ Πάτερ, ἱκετεύω τῆς ψυχῆς καὶ σαρκός μου, τὰς βαρείας ὀδύνας θεράπευσον.

Ἰ'άσεων κρατῆρα ἀνελλιπῆ, τὴν τιμίαν σου κάραν, Ἀλέξιε, πᾶσι πιστοῖς προΰθηκεν ἡ χάρις ἡ ζωαρχικὴ, τοῦ παναγίου Πνεύματος, πάντας ἰωμένη τοὺς εὐλαβῶς αὐτὴν ἀσπαζομένους καὶ πρέσβυν πρὸς Θεόν σε προβαλλομένους μετὰ πίστεως.

Ὀ'χλούμενος συμπτώμασι συμφορῶν, ὡς τεμένει τῶν θείων χαρίτων σοι προσπεφευγώς, δέησιν ἐκ στόματος ῥυπαροῦ, ἐξ ὀφθαλμῶν δὲ δάκρυα, καὶ ἀπὸ καρδίας μου στεναγμοὺς, προσάγων, ἱκετεύω, Ἀλέξιε τρισμάκαρ, μή με παρίδῃς ἀπολλύμενον. Θεοτοκίον.

Σὲ πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, εὐλογοῦσιν ἀεί, Σὲ δοξάζουσι, Μῆτερ Θεοῦ, πᾶσαι τῶν ἀνθρώπων αἱ γενεαί. Σὲ οἱ πιστοὶ κατέχομεν, ἄγκυραν τῆς πίστεως ἀσφαλῆ, Σὲ σκέπην, Σὲ λιμένα, Σὲ χαρὰν καὶ δόξαν, Σαῖς πρεσβείαις σωθείημεν Δέσποινα.

ΜΕΓΑΛΥΝΑΡΙΑ.

Πρῶτον τὸ Ἄξιον ἐστίν, εἶτα τὰ τροπάρια.

Τὸν ἐν σωφροσύνῃ διαπρεπῆ, καὶ ἐν ἐγκρατείᾳ, τηλαυγῆτε καὶ φαεινὸν, λάμψαντα φωστῆρα, τὸν ἄνθρωπον Κυρίου, Ἀλέξιον τὸν θεῖον πάντες τιμήσωμεν.

Τὸν ἐν ἀσθενείαις θεραπευτήν, καὶ ἐν τοῖς κινδύνοις, λυτρωτήν τε καὶ βοηθόν, παρὰ τοῦ Κυρίου, ἡμῖν ἀναδειχθέντα, Ἀλέξιον τὸν θεῖον ὕμνοις γεραίρομεν.

Δεῦτε οἱ νοσοῦντες, καὶ ἐν δεινοῖς πάθεσι τελοῦντες, ἀπαντλήσωμεν ἐκ πηγῆς, κάρας τῆς τιμίας, πιστοὶ, τῶν ἰαμάτων, τὰς χάριτας ἀφθόνως, ταύτην γεραίροντες.

Φρίττουσι τὰ πάθη τὰ τῶν βροτῶν, καὶ δαιμόνων στίφη, δραπετεύοντα ἄφθονον νῦν τῶν ἐκ τοῦ Θεοῦ σοι δοθέντων χαρισμάτων, Ἀλέξιε τρισμάκαρ, τὴν ἐπισκίασιν.

Δεῦτε προσκυνήσωμεν οἱ πιστοὶ, τὴν πάντιμον κάραν, Ἀλεξίου πανευλαβῶς, ἣν ἐν τῇ ἁγίᾳ, Πελοποννήσου Λαύρᾳ, Θεὸς ἀπεθησαύρισε, πιστοῖς ἴαμα.

Ἅγιε Ἀλέξιε, ἐκτενῶς πρέσβευε Κυρίῳ ὑπὲρ πάντων τῶν εὐλαβῶς, σὴν τιμώντων κάραν, ὡς ἔχων παρρησίαν, σώζειν ἐκ τῶν κινδύνων, τούς σοι προστρέχοντας.

Πᾶσαι τῶν Ἀγγέλων. κτλ. Τὸ Τρισάγιον. Εἶτα τὰ Τροπάρια. Ἐλέησον ἡμᾶς. Δόξα. Κύριε ἐλέησον ἡμᾶς· Καὶ νῦν. Τῆς εὐσπλαγχνίας. Εἶτα μνημονεύει ὁ Ἱερεύς. Εἰς δὲ τὸν ἀσπασμὸν τῆς τιμίας κάρας, ψάλλομεν τὸ παρὸν Τροπάριον. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δέχου τὰς δεήσεις εὐμενῶς τῶν σοὶ προσφευγόντων ἐν πίστει, καὶ δεομένων θερμῶς, ἅγιε Ἀλέξιε, καὶ τὰς αἰτήσεις αὐτῶν ἐκπληρώσας, ἀπάλλαξον θλίψεων παντοίων, σώζων τοὺς ἱκέτας σου ταῖς πρὸς Θεόν σου λιταῖς, πόθῳ τὴν ἁγίαν σου κάραν κατασπαζομένους, ἀφθόνως τοῖς πιστοῖς πηγάζουσαν ἰάματα. Καὶ Ἀπόλυσις.

ΤΡΟΠΑΡΙΑ.

Ψαλλόμενα εἰς τὴν μετὰ τῆς ἁγίας κάρας Λιτανείαν. Ἦχος πλ. Α'.

Δεῦτε φιλέορτοι πάντες, πνευματικὴν χορείαν στησάμενοι, ἄνθεσιν ἐγκωμίων τὸν ἄνθρωπον τοῦ Θεοῦ στεφανώσωμεν, Ἀλέξιον τὸν ἀοίδιμον· οὗτος γὰρ τὸν μεγάλαυχον δράκοντα ἀνδρειοφρόνως κατεπάτησε, καὶ τῆς νίκης τὸ στέφος μεγαλοπρεπῶς ἀνεδήσατο. Διὸ πρὸς αὐτὸν βοῶντες εἴπωμεν. Χαίροις ὁ πύργος τῆς ὑπομονῆς ὁ ἀκλόνητος, καὶ τῆς ἐγκρατείας λαμπτὴρ ὁ πολύφωτος· χαίροις τὸ παρθενίας ἐντρύφημα, καὶ τῆς σωφροσύνης ἀγλάϊσμα· χαίροις τὸ τῆς καθαρότητος ἔσοπτρον, ἀκοιμήτοις δάκρυσι κατανύξεως λαμπρυνόμενον, τὸ χρύσεον σκεῦος τοῦ θείου φόβου, ἡ ἔνθεος εὐωδία τῶν ἀρετῶν, ἡ τοὺς πιστοὺς εὐωδιάζουσα, καὶ πρὸς καρτερίαν ἐν πειρασμοῖς ἐνισχύουσα. Χριστῷ τῷ Θεῷ παριστάμενος, αἴτησαι Ἀλέξιε, εἰρήνην δοθῆναι τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος ά.

Δαβιτικῶς αἱ τῶν δικαίων χορεῖαι ἐν Κυρίῳ εὐφράνθητε σήμερον, καὶ πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ, ἐν αὐτῷ ἐγκαυχήσασθε, ὁρῶντες τὸν ὁσίως τὸν βίον διανύσαντα, Ἀλέξιον τὸν τρισόλβιον, ἐκ Θεοῦ δεδοξασμένον, ἐν θαύμασι καὶ ποικίλαις δυνάμεσι, δι' ὧν τὴν ἐν οὐρανοῖς αὐτοῦ δόξαν

ἅπαντες οἱ πιστοὶ τεκμαιρόμεθα. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν. *Ἦχος πλ. δ΄.*

Ἀγάλλου ἐν Κυρίῳ πόλις τῶν Καλαβρύτων, ἐν κόλποις κατέχουσα τὴν πάντιμον κάραν Ἀλεξίου τοῦ ὁσίου, θησαυρὸν ἀδαπάνητον. Δι' αὐτῆς γὰρ ποικίλαις δυνάμεις θαυμάτων ὁ Θεὸς τοῖς ἐν πίστοι προσιοῦσι παρέχει· ῥῶσιν οἱ νοσοῦντες λαμβάνουσιν, οἱ πενόμενοι πορισμὸν, οἱ γηπόνοι τῶν καρπῶν τὴν συγκομιδὴν, οἱ θαλαττεύοντες ἀσφαλῆ κυβέρνησιν, καὶ οἱ πολεμούμενοι συμμαχίαν εὑρίσκουσιν ἰσχυρὰν, καὶ οἱ παντοίαις ἐν συμφοραῖς καὶ θλίψεσι τοῦ βίου παραμυθίαν, καὶ οἱ πρὸς ἀπόγνωσιν ὠθούμενοι, σωτηρίας ἐλπίσι κουφίζονται. Ταύτην πίστει καὶ πόθῳ κατασπαζόμενοι βοήσωμεν: Κύριε, πρεσβείαις τοῦ ὁσίου σου ἀνθρώπου, τὴν πόλιν σου ταύτην, καὶ τὴν Μονὴν τῶν οἰκετῶν σου περίσωζε, καὶ πᾶσαν πόλιν καὶ χώραν τῶν λατρευτῶν σου ἐν εἰρήνῃ διαφύλαττε, τοῦ ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, καὶ πᾶσι παρέχων σωτηρίαν ψυχῆς, καὶ τὸ μέγα ἔλεος. *Ὁ αὐτός.*

Ἐν τῷ σκηνώματι τοῦ Κυρίου σου, καὶ ἐν ὄρει ἁγίῳ αὐτοῦ κατεσκήνωσας, Ἀλέξιε παμμακάριστε· ἀμώμως γὰρ ἐν βίῳ περιεπάτησας, καὶ δικαιοσύνην ἐξήσκησας, τῷ κρείττονι τὸ χεῖρον καθυποτάξας. Διὸ παρρησίαν πρὸς Θεὸν κεκτημένος, μὴ διαλίπῃς ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ πρεσβεύων τοῦ οἰκτιρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν. *Ἦχος δ΄,*

Ὄσιε παμμάκαρ Ἀλέξιε, σὺ καὶ μετὰ θάνατον ἐν οὐρανοῖς ζῇς ἐν τῷ Χριστῷ, δι' ὃν σεαυτὸν ἐσταύρωσας τῷ κόσμῳ· οὐ γὰρ ἔζης σεαυτῷ, ἔζη δὲ μᾶλλον ἐν σοὶ Χριστὸς ὁ Θεὸς ἡμῶν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. *Ἦχος πλ. δ΄.*

Τοὺς θορύβους τοῦ βίου καταλιπὼν, Ἀλέξιε ὅσιε, καὶ τοῦ Σωτῆρος τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, ὅλον σεαυτὸν τῷ Θεῷ καθιέρωσας· διὸ καὶ μετὰ σαρκὸς ἐν κόσμῳ βιοτεύων, ἔξω σαρκὸς ἐδόκεις καὶ κόσμου πανεύφημε, συντόνῳ καθ' ἑκάστην ἐγκρατείᾳ ἐξασκούμενος, καὶ μετὰ Ἀγγέλων τῷ πνεύματι συνὼν καὶ συνευφραινόμενος. Παρρησίαν οὖν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε, τοῦ ῥυσθῆναι κινδύνων καὶ θλίψεων τοὺς πιστῶς ἐκτελοῦντας τὴν ἀεισεβέστατον μνήμην σου. *Ἦχος πλ. ά.*

Ὄσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν ψυχὴν τῆς δουλείας τῶν παθῶν ἠλευθέρωσας, καθυποτάξας τὴν σάρκα τῷ πνεύματι, καὶ σεαυτὸν ἀνέδειξας τοῦ θείου Πνεύματος καταγώγιον· ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρί, μονὴν παρὰ σοὶ ἐποιήσατο, καὶ τῆς ὁμοουσίου Τριάδος δοχεῖον καθαρὸν ἀπειργάσατο. Καὶ νῦν, Ἀλέξιε παμμακάριστε, παρεστὼς τῷ Κυρίῳ, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. *Ἦχος πλ. β΄.*

Βίον ἰσάγγελον ἐπὶ γῆς πολιτευσάμενος, καὶ πᾶσαν ἀρετῶν ἰδέαν ἐν σεαυτῷ θησαυρίσας; ἐκ νεότητος, νοῦν ἡγεμόνα κατὰ παθῶν ἐνεστήσω γρηγοροῦντα, καὶ ὡς φαινοντι λύχνῳ τούτῳ χρησάμενος, παννύχοις καὶ πανημέροις εὐχαῖς καὶ στάσεσιν ἀνενδότοις, τὰ τῶν θηρευόντων θήρατρα συνέτριψας, καὶ τὰς πολυπλόκους ἐνέδρας αὐτῶν ἐξηφάνησας, Ἀλέξιε μακάριε, καὶ λαμπρῶς ἠρίστευσας, τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον. Διὸ Χρι-

στός σε ἐδόξασεν, ἄνθρωπον Θεοῦ ἀναγορεύσας σε, καὶ τὴν ἱεράν σου κοίμησιν θαύμασι πολλοῖς ἐμεγάλυνε, καί σε μετὰ τῶν φρονίμων παρθένων εἰς νυμφῶνα τὸν ἐπουράνιον συνεισήγαγε, τῷ κάλλει τῷ ἀμηχάνῳ τῆς θείας αὐτοῦ δόξης ἐντρυφῶντα εἰς αἰῶνας. Ὃν μὴ παύσῃ δυσωπῶν, ὅπως καὶ ἡμᾶς ἀξιώσῃ, τὸν τῆς νηστείας δίαυλον ἐν ἀγνείᾳ διανύσαι, καὶ τὰ πάνσεπτα πάθη καθαρῶς προσκυνῆσαι, καὶ λαμπρῶς ἑορτάσαι τὴν τριήμερον αὐτοῦ ἐξανάστασιν. Ἦχος πλ. ά.

Δεῦτε φιλεόρτων τὸ σύστημα, φαιδρῶς πανηγυρίζοντες, καὶ χαρμονικῶς ἐν ᾄσμασι κροτοῦντες, ὕμνοις ἱεροῖς ἀνευφημήσωμεν Ἀλέξιον τὸν πανεύφημον· οὕτω λέγοντες. Χαίροις ὁ τῷ Δεσπότῃ Χριστῷ πειθαρχήσας λέγοντι: «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος», καὶ τούτου τὴν ἀγάπην τῆς τῶν γονέων προτιμήσας. Χαίροις ὁ δόξαν καὶ πλοῦτον καὶ θάλαμον καταλιπών, καὶ τὰ τοῦ βίου τερπνὰ ὡς σκύβαλα διὰ Χριστὸν ἡγησάμενος. Χαίροις ὁ τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, καὶ πᾶσαν κακουχίαν καὶ θλίψιν ἑλόμενος, καὶ μέχρι τέλους τῷ καλέσαντι Χριστῷ γενόμενος ὀπαδός. Χαίροις ὁ ἁγνείᾳ καὶ σωφροσύνῃ, καὶ πολλῇ ἐγκρατείᾳ, τοῖς ἀσωμάτοις Ἀγγέλοις ὀφθεὶς ἐφάμιλλος. Χαίροις ὁ πάσας ἀρετὰς ὡς μίαν κατορθώσας, καὶ τὸν πάλαι τῆς προμήτορος πτερνιστὴν ἀνδρείως τρεψάμενος. Χαίροις ὁ λαμπρῶς ἐπὶ πάντων οὐρανοφοίτῳ φωνῇ ἄνθρωπος Θεοῦ μαρτυρηθείς, καὶ ἀκούσας «εὖ δοῦλε ἀγαθέ,» καὶ εἰς τὴν χαρὰν εἰσελθὼν τοῦ Κυρίου σου. Ἀλλὰ πρέσβευε καὶ ὑπὲρ ἡμῶν, Ἀλέξιε μακάριε, ἵνα ῥυσθῶμεν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, δουλεύοντες τῷ Κυρίῳ ἐν φόβῳ, καὶ τῆς ἐκ δεξιῶν παραστάσεως τύχωμεν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΛΕΞΙΟΥ

ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΘΕΟΥ.

Ἰδοὺ πάρεστιν ὁ καιρὸς τῆς ἐγκρατείας ἀγαπητοί· τὸ στάδιον ἠνέῳκται· ὁ ἀγωνοθέτης καὶ βασιλεὺς Χριστὸς ἄνωθεν ἵσταται βλέπων τὴν προθυμίαν τῶν ἀθλητῶν· οἱ ἅγιοι ἄγγελοι κρατοῦσι τὰ στέφη τῆς θείας χάριτος ὡς βραβεῖα πολύτιμα, ἵνα στεφανώσωσι πάντας, ὅσοι νομίμως ἀθλήσωσι, καὶ νικήσωσιν ἀνδρείως τὸν ἀποστάτην καὶ ὑπερήφανον δαίμονα. Διότι πᾶς ὅστις γενναίως ἀγωνισθῇ κατὰ τῆς ἁμαρτίας, οὐχὶ πρόσκαιρον ἀπολαμβάνει τιμὴν καὶ στέφανον εὐμάραντον, ἀλλὰ δόξαν αἰώνιον, καὶ ἀμοιβὴν ἀτελεύτητον. Οἱ μὲν γὰρ βασιλεῖς τῆς γῆς ὅταν γυμνάζωσι τοὺς στρατιώτας, ἀπονέμουσιν ἕνα καὶ μόνον χάρισμα φθαρτὸν καὶ ἐπίκηρον, καὶ μό-

λις ὀλίγων χρυσῶν νομισμάτων ἄξιον, καὶ τοῦτον πάλιν εἰς καὶ μόνος λαμβάνει, ὅστις ἀριστεύσῃ καὶ φανῇ πάντων τῶν ἄλλων στρατιωτῶν ἰσχυρότερος. Ἀλλ' ὁ ἐπουράνιος Βασιλεὺς ἀτελεύτητον ἡμῖν χαρίζει μακαριότητα, καὶ ταύτην κληρονομοῦσιν ὅσοι πολεμήσουσι γενναίως. Αὐτὸς ἡμᾶς προσκαλεῖ καὶ σήμερον ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου λέγων: «Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.» Ὅστις θέλει, φησίν· οὐδένα βιάζει· δῶρον γὰρ ἡμῖν ἔδωκε τὸ αὐτεξούσιον· προσκαλεῖ δὲ πάντας ὡς εὔσπλαγχνος, καὶ διψᾷ τὴν σωτηρίαν ἡμῶν, διὰ τοῦτο καὶ νουθετεῖ καὶ διδάσκει πόσον κέρδος ἔχει ὅστις ἀπαρνήσηται τὴν σάρκα καὶ τὰς ἐπιθυμίας αὐτῆς ὑπομένων τὰς θλίψεις καὶ τοὺς πόνους τῆς ἐγκρατείας, καὶ μιμούμενος τὸ πάθος τοῦ Κυρίου. Διότι λέγει πάλιν: «Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;» Ὅλος ὁ κόσμος οὐκ ἔστιν ἀντάξιος τῆς ψυχῆς. Κἂν λοιπὸν κερδίσῃ τις ὅλον τὸν κόσμον, (ὅπερ ὑπάρχει σχεδὸν ἀδύνατον)· κἂν ὑποταχθῶσιν εἰς αὐτὸν ὅλαι αἱ ἡγεμονίαι καὶ τὰ βασίλεια τῆς οἰκουμένης, ἔπειτα κολασθῇ ἡ ψυχὴ αὐτοῦ, οὐδὲν ὠφέλησεν, ἀλλ' ἀπώλεσε τὸ πᾶν. Ἐπειδὴ λοιπὸν ἀσυγκρίτως περισσότερον ὄφελος ἀπολαμβάνει ὁ μικρότερος δοῦλος τοῦ Χριστοῦ, παρὰ τὸν κραταιότατον καὶ πλουσιώτατον βασιλέα τῆς γῆς, ἔπρεπεν ἵνα φροντίζωμεν μὴ περὶ προσκαίρων σωματικῶν ἀπολαύσεων, ἀλλὰ περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν ἀκολουθοῦντες πιστῶς τῷ Δεσπότῃ Χριστῷ· ὅστις διὰ τὸν ὀλίγον ἡμῶν κόπον ἀποδίδωσιν εἰς ἡμᾶς αἰωνίως ἀπόλαυσιν ἀγαθῶν. Ἀλλ' οἱ ὀκνηροὶ καὶ ῥάθυμοι ἀμελοῦσιν ὡς φιλόσαρκοι, λέγοντες, ὅτι παρῆλθεν ἤδη τῶν ἀγώνων ὁ καιρὸς, καὶ ἡ φύσις ἠσθένησεν, οὐδὲ δυνάμεθα πλέον φυλάξαι τὴν ἐγκράτειαν καθὼς οἱ παλαιοί. Ἀλλ' ἡ τοιαύτη πρόφασίς ἐστι δαιμονική. Πάντα καιρὸν δυνάμεθα τὸν ἀγῶνα τῆς ἀρετῆς ἀγωνίζεσθαι, ἐὰν θέλωμεν. Ἔχομεν τοσούτων ἁγίων ὑποδείγματα καὶ παλαιῶν καὶ νεωτέρων, ἅτινα καθίστανται εἰς ἡμᾶς ἔλεγχος πρὸς πολλὴν ἡμῶν αἰσχύνην καὶ καταφρόνησιν. Βλέπομεν γὰρ νέους εὐγενεῖς καὶ βασιλέων υἱοὺς καὶ ἀπογόνους, οἵτινες οὐ μόνον δόξαν καὶ πλοῦτον καὶ πᾶσαν σαρκικὴν ἡδυπάθειαν κατεφρόνησαν, ἀλλὰ καὶ τοὺς φιλτάτους γονεῖς αὐτῶν κατέλιπον, καὶ αὐτὴν (τὸ θαυμασιώτερον) τὴν ἠγαπημένην αὐτῶν σύζυγον, διὰ τὴν ἀγάπην τοῦ ποιητοῦ καὶ σωτῆρος ἡμῶν. Τοῦτο δὲ τὸ ἐθελούσιον διαζύγιον ὑπέμειναν καὶ ἄλλοι δοῦλοι τοῦ οὐρανίου βασιλέως Χριστοῦ, στερηθέντες πασῶν τῶν σαρκικῶν ἀπολαυσεων, καὶ τὸν ἔνθεον ἔρωτα προτιμήσαντες ἀλλὰ πλέον τῶν ἄλλων κατώρθωσεν ὁ πτωχὸς τῷ σώματι, τῇ δὲ ψυχῇ πλουσιώτατος Ἀλέξιος, ὁ

τοῦ Θεοῦ ὄντως ἄνθρωπος, καὶ δοῦλος αὐτοῦ γνησιώτατος, ὅστις διέτριψε τοσούτους χρόνους ἐν τῇ οἰκίᾳ αὐτοῦ, ὑπὸ μὲν τῶν συγγενῶν ἀγνοούμενος, ὑπὸ δὲ τῶν ὑπηρετῶν αὐτοῦ ἐμπαιζόμενος. Ἀλλὰ πάντα ταῦτα ὑπέμεινεν ὁ γεναῖος ἀγωνιστὴς ἀναλογιζόμενος τὴν πλουσίαν ἀμοιβὴν καὶ τὸν πολύτιμον στέφανον, ὃν ἔμελλεν αὐτῷ ἀνταποδώσειν ὁ βασιλεὺς τῆς δόξης εἰς τὸν Παράδεισον· διὸ καὶ ἀπηρνήθη τελείως τὸν ἔξω ἄνθρωπον καὶ ἀράμενος τὸν σωτήριον σταυρὸν τῶν θλίψεων, ἠκολούθησε τῷ Δεσπότῃ ἀγαλλιώμενος. Καὶ νῦν ἐν οὐρανοῖς, χάριν τῆς ἐπὶ γῆς προσκαίρου κακοπαθείας καὶ θλίψεως, ἀπολαύει αἰώνιον εὐφροσύνην καὶ ἄρρητον ἀγαλλίασιν καὶ τιμὴν καὶ δόξαν καὶ βασιλείαν ἀδιάδοχον· δικαίως καὶ πρεπόντως· διότι ὅστις νικήσει τὴν σαρκικὴν φιλαυτίαν καὶ ὅλον αὐτῆς τὸν στρατὸν, ἤγουν ὅλα τὰ πάθη τοῦ σώματος καθυποτάξας αὐτὰ τῷ πνεύματι, κατὰ τὴν εὐαγγελικὴν ἐντολὴν, οὗτός ἐστιν ἄξιος ἐπαίνων καὶ ἐγκωμίων, πολὺ πλέον παρὰ τὸν βασιλέα Ἀλέξανδρον, καὶ τοὺς Καίσαρας, καὶ τοὺς λοιποὺς μονάρχας, ὅσοι τὸν κύσμον ἐξουσίασαν. Διότι οἱ ἐνάρετοι δοῦλοι τοῦ Θεοῦ νικῶσι τὰ ψυχοκτόνα πάθη τῆς σαρκὸς, καὶ καταβάλλουσι τοὺς δαίμονας ὅθεν καὶ δικαίως παρὰ Θεοῦ ἀντιδοξάζονται, ἀπολαμβάνοντες παρ' αὐτοῦ βασιλείαν ἀδιάδοχον καὶ ἀεὶ διαμένουσαν. Τούτου τοῦ θαυμαστοῦ Ἀλεξίου τὸν βίον, ἀγαπητοὶ ἀδελφοί, βούλομαι σήμερον διηγήσασθαι, καὶ προσέχετε ἀκριβῶς, ἵνα λάβητε πολλὴν τὴν ὠφέλειαν, διότι ἄλλος βίος ἁγίου οὐκ ἔστι παρὰ τοῦτον κατανυκτικώτερος ἅμα καὶ ὡραιότερος.

Κατὰ τοὺς χρόνους τῶν εὐσεβεστάτων βασιλέων Ἀρκαδίου καὶ Ὀνωρίου, ἐν ἔτει τπ'. (380), ὑπῆρχεν εἰς τὴν Ρώμην ἄρχων τις ὀνόματι Εὐφημιανός· ἄνθρωπος πλούσιος μὲν τὰ σωματικὰ ἀγαθά, πλουσιώτερος δὲ τὰ ψυχικά, καὶ πλεῖστα ἐνάρετος καὶ θαυμάσιος, ἐργάτης ἐπιμελὴς καὶ ἄοκνος τοῦ μυστικοῦ ἀμπελῶνος τοῦ σωτῆρος Χριστοῦ, οὗτινος πάσας τὰς ἐντολὰς ἐσπούδαζε φυλάττειν ἀπαρασάλευτα, ἐξαιρέτως δὲ κατὰ τὴν ἐλεημοσύνην ὑπῆρχεν ἀμίμητος, διανέμων καθ' ἑκάστην ἀφθόνως εἰς τοὺς ἐνδεεῖς τοῦ πλούτου τὰς χάριτας· ἔτρεφε πεινῶντας, ἐνέδυε γυμνοὺς, ὑπεδέχετο ξένους, καὶ τούτους ἐφιλοξένει καὶ εὐηργέτει πλουσιοπαρόχως, καὶ ἁπλῶς εἰπεῖν, ὁ εὐλογημένος αὐτοῦ οἶκος ὑπῆρχε λιμὴν τῶν πενήτων καὶ καταφύγιον. Εἶχε δὲ καὶ ὑπηρέτας πολλοὺς χρυσοζώνους καὶ ἐνδεδυμένους μὲ ἱμάτια λαμπρὰ καὶ πολύτιμα· αὐτὸς δὲ ὁ ἀείμνηστος ἔτρωγε πάντοτε μετὰ τὴν ἐννάτην ὥραν ἅπαξ τῆς ἡμέρας, καὶ πρῶτον μὲν συνήθροιζεν ἀνθρώπους πτωχοὺς, ὅσους εὕρισκεν εἰς τὴν ἀγοράν, καὶ παρατιθεὶς τράπεζαν, ὑπηρέτει ἰδίαις χερσὶν αὐτός, ὅπως ἔχει μισθὸν περισσότερον. Τῶν δὲ συγγενῶν καὶ φίλων αὐτοῦ τινὲς δι' ἀ-

νοησίαν ἔψεγον αὐτὸν πολλάκις, λέγοντες, ὅτι πράττει πρᾶγμα ἀπρεπὲς ὑπηρετῶν πένητας ἀνθρώπους τοιοῦτος ἄρχων περιφανέστατος· ἀλλὰ τοῦτο τοῖς ὑπηρέτας ἀνήκει, κἀκεῖνοι ποιείτωσαν τὰ δέοντα. Ὁ δὲ πρὸς αὐτοὺς μετὰ ταπεινώσεως ἀπεκρίνατο λέγων· «Οὗτοί εἰσιν ἀδελφοὶ τοῦ Κυρίου μου, ὅστις προσέταξεν εἰς τὸ ἱερὸν εὐαγγέλιον, ἵνα τούτους ἀγαπῶμεν, καὶ ὅσην εὐεργεσίαν ποιήσωμεν εἰς αὐτούς. αὐτὸς ἡμᾶς ἀνταμείβει τὴν χάριν πλουσιοπάροχον. » Ὑπῆρχε δὲ καὶ ἡ σύζυγος αὐτοῦ, Ἀγλαΐς ὀνόματι, γυνὴ εὐλαβὴς καὶ ἀγαθή, καὶ ἦσαν καὶ οἱ δύω πορευόμενοι ἄμεμπτοι τὴν ὁδὸν Κυρίου, πλὴν εἶχον λύπην, διότι ἦσαν ἄτεκνοι, μὴ γεννήσαντες παιδίον διάδοχον τοῦ γένους καὶ τῆς περιουσίας αὐτῶν. Ὅθεν ἐδέοντο τοῦ Δεσπότου Χριστοῦ μετὰ πίστεως, ἵνα δώσῃ τέκνον αὐτοῖς κατὰ τὴν εὐχὴν αὐτῶν. Ὁ δὲ Κύριος ἐπήκουσεν αὐτῶν τῆς δεήσεως· καὶ συλλαβοῦσα ἡ Ἀγλαΐς, ἐγέννησεν υἱὸν καὶ ὠνόμασαν αὐτὸν Ἀλέξιον. Ἐγένετο λοιπὸν πολλὴ χαρὰ εἰς τὴν οἰκίαν ἐκείνην καὶ ἄμετρος ἀγαλλίασις. Ἀφ' οὗ δὲ τὸ παιδίον ἀπεγαλάκτισαν, παρέδωκαν αὐτὸ εἰς διδασκάλους, καὶ ἐδιδάσκετο μέχρις ἦλθεν εἰς ἡλικίαν νόμιμον. Καὶ ἐπειδὴ εἶχεν ὀξύνοιαν καὶ εὐφυΐαν, ἔμαθεν εἰς ὀλίγον καιρὸν πᾶσαν παιδείαν ἐκκλησιαστικήν τε καὶ κοσμικήν, καὶ ἀπέβη σοφώτατος. Ὅθεν γνωρίσας τὸ μάταιον τοῦ κόσμου καὶ ἄστατον, καὶ τῆς ψυχῆς τὴν ἀθανασίαν, ἐβουλεύσατο βουλὴν ἀγαθήν, ἵνα ἀπαρνηθῇ τὰ πρόσκαιρα καὶ εὐμάραντα ἀγαθὰ τῆς παρούσης ζωῆς, ὅπως κληρονομήσῃ τὰ ἄφθαρτα καὶ αἰώνια. Ταῦτα μελετῶν καθ' ἑκάστην, ὁ ἐκ Θεοῦ πεφωτισμένος καὶ πάνσοφος Ἀλέξιος, ἐνεδύθη ῥάσον τρίχινον κρυφίως τῶν γονέων του· καὶ τοῦτο μὲν ἐφόρει κατάσαρκον, ἔξωθεν δὲ περιεβάλλετο μεταξωτὰ καὶ χρυσοΰφαντα, ὅπως μηδεὶς περὶ αὐτοῦ ὑποψίαν τινὰ λάβῃ. Οἱ δὲ γονεῖς ἀγνοοῦντες τὴν ἔνθεον αὐτοῦ γνώμην, ἐσπούδαζον αὐτὸν εἰς γάμον συνάψαι, λίαν ποθοῦντες ἰδεῖν ἀπογόνους. Ἐρευνήσαντες οὖν εἰς τὴν Ρώμην, εὗρον κόρην ὡραίαν καὶ πάγκαλον ὁμοίαν αὐτῷ καὶ πλουσίαν καὶ εὐγενῆ ἐκ γένους βασιλικοῦ. Ὁ δὲ Ἀλέξιος εἶχε τὴν καρδίαν ἀνυψωμένην εἰς τὰ οὐράνια καὶ οὐδέποτε περὶ ἐπιγείων ἐφρόνει, ἀλλὰ καθ' ἑκάστην προσηύχετο μυστικῶς πρὸς τὸν κρυφιογνώστην Θεὸν, καὶ δάκρυα ποταμηδὸν, ἔρρεε δεόμενος, ὅπως αὐτὸν διασώσῃ τῶν παγίδων τοῦ κοσμοκράτορος διαβόλου, καὶ φωτίσῃ πρὸς τὸ συμφέρον. Καὶ τοιαῦτα μὲν ἔλεγε προσευχόμενος σχεδὸν δι' ὅλης τῆς νυκτὸς, τὴν ἡμέραν δὲ πάλιν ἔτρεχεν εἰς τὰς ἐκκλησίας χάριν προσκυνήσεως, καὶ τοῖς πτωχοῖς ἐμοίραζεν ἐλέη φανερῶς καὶ ἀποκρύφως· ἵνα καὶ αὐτοὶ παρακαλῶσιν ὑπὲρ αὐτοῦ τὸν Κύριον, ὅπως τύχῃ σωτηρίας. Πρὸς δὲ τοὺς γονεῖς ἔλεγεν, ὅτι τὸν γάμον οὐ

στέργει, διότι ἔχει φροντίδας καὶ μέριμνας πολλάς. Ἀλλ' αὐτοὶ ἐπαραβίασαν αὐτὸν πρὸς ὑπακοήν, λέγοντες, ὅτι ἡ νύμφη ὑπῆρχεν ἤδη ἐκλελεγμένη, καὶ τοιαύτην ἄλλην ὁμοίαν ὕστερον οὐχ εὑρήσουσιν. Ὅθεν μὴ δυνάμενος ἐναντιωθῆναι πρὸς τοὺς γονεῖς, ἔστερξε μὲν κατὰ τὸ φαινόμενον, καὶ ἐγράφη τὸ συνοικέσιον, ἔσωθεν ὅμως ἐμελέτα κατὰ διάνοιαν, ἵνα φύγῃ δραπετεύσας εἰς ξένον τόπον, ὅπως φυλάξῃ τὴν παρθενίαν ἄφθορον. Ὡς οὖν ἦλθεν ἡ ἡμέρα τῆς νυμφεύσεως, ἀπῆλθον εἰς τὸν ναὸν τοῦ ἁγίου Βονιφατίου καὶ ἐστεφάνωσαν τὸ ἀνδρόγυνον. Ἔπειτα μετὰ χορῶν καὶ τυμπάνων καὶ ἄλλων μουσικῶν ὀργάνων, διῆγον ὅλην τὴν ἡμέραν εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ χαίροντες οἵ τε ἄρχοντες τοῦ παλατίου καὶ οἱ συγγενεῖς καὶ φίλοι τῶν νεογάμων κατὰ τὸ σύνηθες. Τὸ ἑσπέρας δὲ μετὰ τὸ δεῖπνον ἀνεχώρησαν ἐπευχηθέντες τοῖς νεονύμφοις· καὶ τούτους οἱ γονεῖς ἕως εἰς τὸν νυμφικὸν θάλαμον συνοδεύσαντες ἀπεχαιρέτισαν. Ὁ δὲ νέος ἀφοῦ ἔμεινε μετὰ τῆς νύμφης, προσηύχετο ὥραν πολλήν, ἕως οὗ ἐκοιμήθησαν ἅπαντες οἱ ἐν τῷ οἴκῳ, καὶ τότε τυλίξας τὸ δακτυλίδιον εἰς τὴν ζώνην του, (ἦσαν δὲ καὶ τὰ δύο πολύτιμα πράγματα) παρέδωκε τῇ κόρῃ λέγων: «Λάβε ταῦτα φιλτάτη, καὶ φύλαξον, καὶ ὁ Θεὸς ἔστω ἐν τῷ μέσῳ ἡμῶν ἕως ἂν οἰκονομήσῃ ἡ χάρις αὐτοῦ περὶ ἡμῶν ἄλλο τι νεώτερον.» Ταῦτα εἰπὼν ἀπῆλθεν εἰς τὸ δωμάτιον αὐτοῦ καὶ ἔλαβε χρυσίον καὶ λίθους τιμίους, καὶ μαργαρίτας, ὅσα ἐδύνατο, καὶ ἐκδυθεὶς τὰ χρυσοΰφαντα φορέματα, ἐφόρεσε πτωχὰ καὶ κατεσχισμένα, καὶ ἐξελθὼν τῆς πόλεως κατέβη εἰς τὴν θάλασσαν. Ἐκεῖ δὲ Θεοῦ εὐδοκοῦντος, εὑρίσκει πλοῖον ἀναχωροῦν αὐτῇ τῇ ὥρᾳ εἰς Συρίαν καὶ ἐξέπλευσεν. Ὡς δὲ ἔφθασαν εἰς τὴν Λαοδικείαν, ἐξῆλθε τοῦ πλοίου, καὶ διὰ ξηρᾶς ἐπορεύθη εἰς τὴν Ἔδεσσαν. Ἐκεῖ δὲ εὗρε τὸν περίφημον ναόν, ὅπου ὑπῆχεν ἡ ἀχειροποίητος εἰκὼν τοῦ Δεσπότου Χριστοῦ, ἣν αὐτὸς ἔστειλε τῷ Αὐγάρῳ διὰ τοῦ Ἀνανίου, (ὡς φαίνεται ἐν τῷ Συναξαριστῇ τῆς 16 Αὐγούστου.) Ταύτην ἰδὼν ὁ Ἀλέξιος ἔλαβε πολλὴν ἀγαλλίασιν, καὶ διαμοιράσας εἰς τοὺς πτωχοὺς τὸ χρυσίον καὶ τοὺς πολιτίμους λίθους, ἔμεινεν εἰς ἐκεῖνον τὸν ναὸν ἐνδεδυμένος ὡς εἷς τῶν πενήτων, παλαιὰ καὶ ἄχρηστα ἱμάτια, ἵνα βλέπῃ καθ' ἑκάστην τὸν πολυπόθητον χαρακτῆρα τῆς τοῦ Δεσπότου μορφώσεως, καὶ ζητῶν ἐλεημοσύνην παρὰ τῶν εὐσεβῶν χριστιανῶν, ἐξόδευεν ἐκ τῶν χρημάτων ὀλίγα καὶ ἠγόραζεν ἄρτον πρὸς τὴν ἀναγκαίαν ζωοτροφίαν, τ' ἄλλα δὲ διεμοίραζε τοῖς πτωχοῖς. Αὐτὸς δὲ ὅλην τὴν νύκτα προσηύχετο καὶ πᾶσαν Κυριακὴν μετελάμβανε τῶν θείων Μυστηρίων. Τόσον δὲ ἐταλαιπωρήθη ἐκ τῆς πολλῆς ἐγκρατείας, ὥστε ἠφανίσθη πᾶσα ἡ ὡραιότης τοῦ προσώπου αὐτοῦ, καὶ ἡ ὄψις ἐμελάνισεν, ἡ σὰρξ ἐξηράνθη,

οἱ ὀφθαλμοὶ ἐβάθυναν, καὶ μόνον τὸ δέρμα ἔμεινε καὶ τὰ ὀστᾶ.

Οἱ δὲ γονεῖς αὐτοῦ, ἀφοῦ ἦλθεν ἡ ἡμέρα, καὶ τὸν μὲν Ἀλέξιον οὐχ εὗρον ἐν τῷ θαλάμῳ, μόνην δὲ τὴν νύμφην σκυθρωπὴν καὶ περίλυπον, μαθόντες τὴν ἀνέλπιστον τοῦ παιδὸς ἀναχώρησιν, ἐθρήνουν καὶ ἔτυπτον τὸ στῆθος πικρῶς ὀλολύζοντες· ἔπειτα ἰδόντες ὅτι τὰ δάκρυα οὐδὲν ὠφελουσιν, ἔστειλαν ἀνθρώπους ἵνα ζητήσωσιν εἰς διαφόρους τόπους καὶ χώρας, ἐξετάζοντες ἐπιμελῶς μήπως τοῦτον εὕρωσι. Κἀκεῖνοι μετὰ σπουδῆς ἀπελθόντες καὶ ἐξετάζοντες ἀκριβῶς εἰς πόλεις καὶ χώρας πολλάς, οὐδὲν ἔμαθον περὶ αὐτοῦ. Ἀπῆλθον δέ τινες αὐτῶν καὶ εἰς τὴν Ἔδεσσαν καὶ ἠρώτησαν· ἀλλ' οὐδεὶς ἐνόμιζεν ὅτι ὁ ζητούμενος ὑπῆρχεν ἐκεῖνος ὁ πάμπτωχος, βλέποντες αὐτὸν ἐν τοσαύτῃ εὐτελείᾳ· ἀλλὰ καὶ ἐλεημοσύνην αὐτῷ ἔδωκαν οἱ δοῦλοι αὐτοῦ, οὐδεὶς δ' αὐτὸν ἐγνώρισε διὰ τὴν πτωχείαν τοῦ ἐνδύματος καὶ τὴν ἀδυναμίαν τοῦ σώματος. Ὁ δὲ Ἀλέξιος κατανυγεὶς τὴν καρδίᾳ ἐδάκρυσε· καὶ δοξάζων τὸν Κύριον ἔλεγεν: «Εὐχαριστῶ σοι Θεέ μου, ὅτι μὲ ἠξίωσας ἵνα λάβω ἔλεος καὶ παρὰ τῶν πρώην ὑπηρετῶν μου.» Ἀφοῦ γοῦν οἱ ἀπεσταλμένοι περιελθόντες χώρας πολλὰς καὶ πάμπολλα μοναστήρια, ὑπέστρεψαν εἰς τὴν Ρώμην ἄπρακτοι· τότε μάλιστα ἐπληρώθη θρήνων καὶ ὀδυρμῶν, οὐ μόνον ὁ οἶκος τοῦ Εὐφημιανοῦ, ἀλλὰ καὶ οὕτως εἰπεῖν, ἅπας τόπος καὶ οἶκος τῆς πόλεως, καὶ αὐτὸ τὸ παλάτιον.

Πάντες οἱ φίλοι καὶ συγγενεῖς ἔκλαιον ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες ἀνήλικοι. Ἐθρήνουν οἱ γονεῖς αὐτοῦ ἀπαρηγόρητοι, καὶ πάντες οἱ τοῦ οἴκου ἐμαυροφόρεσαν, καὶ μάλιστα ἡ μήτηρ αὐτοῦ, ἥτις ἐκλείσθη εἰς ἓν τῶν δωματίων, σφαλίσασα καὶ τὴν θύραν καὶ τὰ παράθυρα, καὶ ἐκδυθεῖσα τὰ μαλακὰ ἱμάτια, ἐνεδύθη τρίχινα, στάκτην ἔβαλεν εἰς τὴν κεφαλήν, ἐκοιμᾶτο εἰς ψαθίον ἀνεπιμέλητα, θρηνοῦσα καθ' ἑκάστην τοῦ φιλτάτου υἱοῦ τὴν στέρησιν. Ἡ δὲ πάλιν ἄχαρις καὶ δύσμοιρος νύμφη πολὺ ἐλεεινότερον ἐθρήνει τὴν αἰφνηδίαν καὶ ἀπροσδόκητον δυστυχίαν· καὶ ἁπλῶς εἰπεῖν, οὐδεὶς ἔμεινεν ἀδάκρυτος εἰς ἐκεῖνον τὸν οἶκον τὸν πρώην μὲν περιχαρῆ τε καὶ πανευφρόσυνον, τότε δὲ περίλυπον καὶ βαρυπενθῆ. Οὕτως αὐτοὶ μὲν εἶχον θλῖψιν σαρκικὴν θρηνοῦντες ἀπαραμύθητοι, ὁ δὲ μακάριος Ἀλέξιος ἔχαιρε πνευματικῶς ἐν τῇ ξενιτείᾳ, δοξάζων τὸν Κύριον, ὅστις ἐλύτρωσεν αὐτὸν ἀπὸ τῶν φροντίδων τοῦ βίου καὶ διεφύλαξεν ἄγνωστον, ἵνα μὴ περιπλεχθῇ εἰς δυσκολίας ὁ πόθος αὐτοῦ. Ἐποίησεν οὖν εἰς τὸν νάρθηκα τοῦ ναοῦ ἐκείνου τῆς ὑπεραγίας Θεοτόκου, χρόνους 17, διάγων πολιτείαν θεάρεστον. Ὅθεν οἱ ἐγχώριοι ἐτίμων αὐτὸν ὡς ἅγιον, βλέποντες τὸν ἔνθεον αὐτοῦ βίον. Αὐτὸς δὲ φοβούμενος μὴ στερηθῇ τῆς οὐρανίου δόξης, δοξαζόμενος προσκαίρως ἐπὶ

τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων, ἐμελέτησεν ἵνα μεταβῇ εἰς ἄλλον τόπον ἄγνωστον. Καὶ ἀπελθὼν εἰς τὸν λιμένα, εὗρε πλοῖον ἀπερχόμενον εἰς τὰ μέρη τῆς Κιλικίας, καὶ ἐπέβη εἰς αὐτό, σκοπῶν ἀπελθεῖν εἰς Ταρσόν, ὅπου ἦν ναὸς τοῦ ἁγ. Παύλου περίφημος. Ἀλλὰ μετὰ πολλὰς ἡμέρας, ὧδε κακεῖσε περιφερόμενοι εἰς τὸ πέλαγος, ἔφθασαν εἰς τὴν Ρώμην καὶ μὴ θέλοντες· τοῦτο δὲ ὑπῆρχεν οἰκονομία Θεοῦ, καὶ ὁ ἅγιος ἐγνώρισεν. Ὅθεν ἵνα μηδὲ ξένους ἄλλους πλέον ἐπιβαρύνει, βουλεύεται βουλήν, ἵνα παροικήσῃ εἰς τὴν πατρικὴν αὐτοῦ οἰκίαν ἄγνωστος ἕως τέλους· ὅπως ἔχει καὶ μείζονα τὸν μισθὸν τῆς ὑπομονῆς. Ἀπελθὼν οὖν εἰς τὴν ἐκκλησίαν προσηύξατο τῷ Θεῷ, δεόμενος ὅπως αὐτὸν ἐνισχύσῃ πρὸς τελείωσιν τοῦ μελετωμένου. Προσκυνήσας δὲ καὶ εἰς ἄλλας ἐκκλησίας, ὑπήντησε τῷ Πατρὶ ἐρχομένῳ ἀπὸ τῶν ἀνακτόρων μετὰ πολλῆς συνοδίας κατὰ τὴν ἀξίαν αὐτοῦ, καὶ προσκυνήσας ἕως ἐδάφους εἶπε ταῦτα : «Παρακαλῶσε, κράτιστε ἀρχόντων, ποίησον ἔλεος μετ' ἐμοῦ τοῦ ξένου καὶ παναπόρου, ἄφες με παροικῆσαι εἰς μίαν τινὰ γωνίαν τοῦ παλατίου σου, καὶ τρέφεσθαι ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν δούλων σου· ὁ δὲ Θεὸς εὐλογῆσαι τὸν οἶκόν σου διὰ ταύτην τὴν εὐσπλαγχνίαν σου, καὶ δῴη σοι τὴν οὐράνιον βασιλείαν· κἂν ἔχῃς καὶ συγγενῆ τινα διατρίβοντα εἰς τὴν ξενιτείαν, ἀξιῶσαι σε ὁ Κύριος ἰδεῖν αὐτὸν καὶ ἀπολαῦσαι, ὡς ἐπιθυμεῖ ἡ καρδία σου.» Ταῦτα ἀκούσας ὁ ἄρχων ἐδάκρυσεν, ἐνθυμηθεὶς τὸν υἱόν του· καὶ εὐσπλαγχνισθεὶς ἐδέξατο τὸν πένητα. Καὶ προσκαλεσάμενος ἕνα τῶν ὑπηρετῶν, ὃν εἶχεν ἐπιμελέστατον, παρέδωκεν αὐτῷ τὸν Ἀλέξιον, ἐπιτάξας ἵνα περιθάλπῃ τὸν ξένον. Καὶ ὁ θεράπων παραλαβὼν τὸν Ἀλέξιον εἰσήγαγεν εἰς οἴκημα μικρόν, ὅπερ ἔτυχε κείμενον οὐ μακρὰν τοῦ δωματίου τῆς γυναικὸς αὐτοῦ. Ὁ μὲν οὖν Εὐφημιανὸς ἔπεμπεν αὐτῷ καθ' ἑκάστην ἐκ τῶν βρωμάτων τῆς ἰδίας αὐτοῦ τραπέζης. Ὁ δὲ Ἀλέξιος ἐγεύετο τροφῆς μόνον κατὰ πᾶσαν Κυριακήν, ἀφ' οὗ ἐκοινώνει τῶν Ἀχράντων Μυστηρίων· ἡ δὲ τροφὴ ἦν ἄρτος καὶ ὕδωρ καὶ ταῦτα σύμμετρα, μόνον ἵνα μὴ ἀποθάνῃ διὰ τὴν ἄμετρον ἐγκράτειαν· προσηύχετο δὲ καὶ ὅλην τὴν νύκτα καὶ τὰς ἡμέρας τὸ πλεῖστον μέρος. Βλέπων οὖν ὁ φθονερὸς καὶ μισάνθρωπος Δαίμων τὴν καρτερίαν αὐτοῦ τὴν θαυμάσιον, ἔτριζε τοὺς ὀδόντας, καὶ ἔσπειρε δεινοὺς καὶ μεγάλους πολέμους, ὅπως αὐτὸν ἀναγκάσῃ ἀποβαλεῖν τὴν ἀνείκαστον ἣν εἶχεν ὑπομονήν. Καὶ πρῶτον μὲν παρόξυνε τοὺς δούλους εἰς τὸ πειράζειν αὐτὸν καὶ ἐνοχλεῖν· καὶ ἄλλοι μὲν ἐλοιδόρουν καὶ ἐῤῥάπιζον αὐτόν, ἕτεροι δὲ κατέχεον ἐπ' αὐτοῦ τῶν ἀγγείων τὰ ἀποπλύματα, καὶ ἄλλας ὕβρεις καὶ παροινίας πολλὰς ἔπραττον εἰς αὐτὸν ἄνθρωποι τρυφῶντες καὶ ἀτακτοῦντες εἰς οἰκίαν μεγάλην· τὸν δὲ διωρισμένον

αὐτοῦ φροντιστὴν πολλάκις ἐλάνθανον ἢ καὶ παρήκουον νουθετοῦντα. Αὐτὸς δὲ ὁ ἀείμνηστος ὑπέμεινε πάντα σιωπῶν, καὶ γινώσκων ὅτι ἐκ δαιμονικῆς ἐνεργείας ἐγίνοντο, καὶ πώποτε οὔτ' ἐγόγγυσεν, οὔτε λόγον εἶπε κατ' αὐτὸν ἁρπεπῆ μόνον τὸν δεσπότην Θεὸν ἱκέτευεν, ἵνα μέχρι τέλους ὑπομονὴν αὐτῷ παρέχῃ, μήπως ζημιωθῇ τὸν μισθὸν τῆς ἀνταποδώσεως. Οὐ μόνον δὲ τοῦτον εἶχε τὸν πόλεμον ὁ ὅσιος, ἀλλὰ καὶ ἕτερον χαλεπώτερον. Τὸ παράθυρον τοῦ δωματίου τῆς νύμφης ἔβλεπε πρὸς τὸ κελίον τοῦ ὁσίου, διότι ἡ νύμφη, ὡς ἄλλη νέα Ῥούθ, οὐκ ἠθέλησεν ἐπανελθεῖν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς, ἀλλὰ μετὰ τῆς πενθερᾶς συνεκάθητο, καὶ συνέκλαιον ἀμφότεραι πολλάκις ὀδυρόμεναι ἡ μὲν τὴν χηρείαν, ἡ δὲ τοῦ φιλτάτου καὶ μονογενοῦς υἱοῦ τὴν ὀρφανίαν καὶ στέρησιν, καὶ οὔτε τὸ μάκρος τοῦ χρόνου, οὔτε αἱ παρὰ τῶν συγγενῶν καὶ φίλων παντοῖαι παρηγορίαι ἠδύναντο καταπραῦναι τὸ πολὺ τῆς θλίψεως αὐτῶν· ἀλλ' ὅσον ὁ χρόνος παρήρχετο μηδαμόθεν φέρων μηδεμίαν ἀγγελίαν περὶ τοῦ ποθουμένου, τοσοῦτον αἱ καρδίαι αὐτῶν πρὸς τὸν ἐκείνου πόθον ἀνεφλέγοντο. Καὶ ἤκουσε πολλάκις ὁ ἅγιος τὴν σύζυγον θρηνωδοῦσαν κατὰ τὸ ἔθος τῶν γυναικῶν, καὶ λέγουσα τοιαῦτα τινά: «Οὐαί μοι τῇ νύμφῃ καὶ κακονύμφῃ καὶ ζώσῃ χήρᾳ! φεῦ μοι τῇ παναθλίᾳ καὶ κακοδαίμονι! Ποῦ ἄρα διατρίβει ὁ ἠγαπημένος μου σύζυγος; τί ἔπαθες νυμφίε μου φίλτατε, πῶς ἐφάνης οὕτω σκληροκάρδιος εἰς ἐμὲ τὴν τάλαιναν; τί με τοσοῦτον ἐμίσησας; Ἂν εἶχες σκοπὸν ἐγκαταλιπεῖν με φυγὼν παρευθύς, τί καὶ ὅλως μ' ἐνυμφεύεσο; διατί μ' ἔῤῥιπτες εἰς βασάνους, καὶ ὀδυνῶμαι τοσούτους χρόνους; διατί κἂν οὐδὲ μικρόν μοι γραμμάτιον ἔστειλες, ἀναγγέλων ποῦ καὶ πῶς διάγεις εἰς τὴν ξένην γῆν, καὶ νουθετῶν με, τί γένωμαι, ποῦ πορεύσομαι; Σὺ δ' οὐδὲ τοσαύτην φροντίδα ἔλαβες περὶ ἐμοῦ, ἀλλ' ἀφ' οὗ μ' ἐνυμφεύθης ματαίως, ἔπειτ' ἄφαντος ἐγένου μισήσας ὡς προδότιν. Ἀλλὰ σὺ μὲν οὕτως ὠμὸς ἐφάνης περὶ ἐμὲ καὶ ἀσυμπαθής· ἐγὼ δὲ πᾶν τοὐναντίον ποιήσω· μιμήσομαι τὴν ἄμωμον τρυγόνα καὶ ἄδολον, ἥτις ὅταν τὸν σύζυγον ἀπολέσῃ, οὔτε εἰς χλωρὸν κλαδίον κάθηται πλέον, οὔτε καθαρὸν ὕδωρ πίνει, οὔτε κελαδεῖ. Θρηνεῖ δὲ μόνον τὴν τύχην αὐτῆς, ἕως ἂν ἀποθάνῃ διὰ τὴν θλῖψιν. Οὕτω ποιήσω κἀγὼ ἡ δύστηνος καὶ ταλαίπωρος. Οὐ παύσομαι καθ' ἑκάστην θρηνοῦσα, ἕως ἂν ὑπὸ τῆς ὀδύνης τελευτήσω τὸν βίον.» Τοιαῦτα μὲν ἔλεγεν ἡ ὁμόζυγος. Ἡ δὲ Ἀγλαΐς ἔτι πλείονα ὀδυρομένη, καὶ ἀναλογιζομένη τὰς ὠδῖνας, τοὺς φόβους, τὰς βασάνους ὅσας ὑπέμεινε βαστάσασα τὸν υἱὸν ἐν τῇ κοιλίᾳ, καὶ γεννήσασα καὶ θρέψασα φιλοστόργως. Αὐτὸς δ' ἐξαίφνης ἀπαρνηθεὶς τὴν μητέρα προὐξένησεν εἰς αὐτὴν ὀδύνας καὶ θλίψεις πολὺ πικροτέρας καὶ

πλείονας καὶ διαρκεστέρας παρὰ τῆς γεννήσεως τὰς ὠδίνας.

Ταῦτα πάντα ἤκουε συχνάκις ὁ ἀήττητος ἀγωνιστὴς, καὶ ἐπόνει μὲν τὴν καρδίαν, καὶ ἐλυπεῖτο καὶ τὴν μητέρα καὶ τὸν πατέρα καὶ τὴν ὁμόζυγον, καὶ κατὰ τοῦτο μάλιστα βαρὺν ὁ πονηρὸς ἐπέφερεν αὐτῷ τὸν πόλεμον καὶ λίαν ὀδυνηρόν· Ἀλλ' ὁ ἅγιος ἐνθυμούμενος τὰ εὐαγγελικὰ τοῦ δεσπότου Χριστοῦ λόγια. «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος». Ἀντέταττε κατὰ τῆς σαρκικῆς ἀγάπης τὸν ἔνθεον ἔρωτα, καὶ ὑπέμεινε τὸν φλογμὸν τῆς καρδίας ὁ καρτερόψυχος, πόθῳ πόθον ἀντωσάμενος, οὐχ ὡς ὑπάρχων πρὸς τοὺς γεννήτορας ἄσπλαγχνος καὶ ἀμείλικτος, ἀλλὰ πολὺ πλέον ὑπήκοος πρὸς τὸν πλάστην καὶ σωτῆρα· καὶ τούτου πολλάκις ἐδέετο μετὰ δακρύων ἵνα στηρίζῃ αὐτὸν εἰς τὴν ὑπομονὴν ἕως τέλους· ὁμοίως προσηύχετο καὶ ὑπὲρ τῶν γονέων καὶ τῆς συζύγου, ἵνα μὴ ἀποθάνωσιν ἀώρως ὑπὸ τῆς λύπης. Οὕτως λοιπὸν ὁ ἀείμνηστος διῆγεν εἰς τὸν πατρικὸν οἶκον ἀγνώριστος ἐν σκληραγωγίᾳ ταλαιπωρούμενος, ὑπὸ τοῦ ἐχθροῦ πολεμούμενος, ὑπὸ τῶν ἰδίων δούλων του ἐμπαιζόμενος, οὐχὶ δέκα ἡμέρας ἢ ἑκατὸν, ἀλλὰ χρόνους ὁλοκλήρους δεκαεπτὰ ὁ τῷ ὄντι ἀδαμάντινος, καὶ οὐχὶ σάρκινος. Καὶ τότε ἀπεκάλυψεν αὐτῷ ὁ Κύριος, ὅτι κατὰ τὴν ἐρχομένην Παρασκευὴν ἔμελλεν ἀναπαυθήσεσθαι ἀπὸ τῶν κόπων καὶ βασάνων. Ἐζήτησε λοιπὸν παρὰ τοῦ ὑπηρέτου χάρτην καὶ καλαμάριον, καὶ ἔγραψε πάντα τὰ κατ' αὐτόν· καὶ πρὸς πλείονα βεβαίωσιν ἔγραψε καὶ ὅσα κατ' ἰδίαν εἶπε πρὸς τὴν νύμφην ὅτε παρέδιδεν αὐτῇ τὴν ζώνην καὶ τὸ δακτυλίδιον καὶ ἕτερα ἀπόκρυφα πράγματα ὅσα μόνον οἱ γονεῖς ἐγνώριζον· εἰς δὲ τὸ τέλος ἔγραψε ταῦτα. «Δέομαι καὶ παρακαλῶ φιλόστοργοι γονεῖς μου, καὶ σὺ σεμνοτάτη σύζυγε μὴ ἀγανακτήσητε κατ' ἐμοῦ, διότι παρέσχον ὑμῖν τοσαύτην θλῖψιν καὶ βάσανον· καγὼ γὰρ ἤλγουν συλλυπούμενος ὑμῖν, καὶ πολλάκις ὑπὲρ ὑμῶν ἐδεήθην πρὸς Κύριον, ἵνα δίδωσιν ὑμῖν ὑπομονὴν, καὶ ἵνα τῆς αὐτοῦ βασιλείας ὑμᾶς ἀξιώσῃ· καὶ ἐλπίζω εἰς τὴν αὐτοῦ εὐσπλαγχνίαν ὅτι πληρωθήσεταί μου τὸ αἴτημα· ὅτι κἀγὼ δι' ἀγάπην αὐτοῦ, καὶ πρὸς ὑμᾶς ἐφάνην τοσοῦτον ἄσπλαγχνος καὶ πρὸς ἐμαυτὸν σκληρότερος· ἀλλὰ κάλλιον τὸ «Πᾶς πειθαρχεῖ τῷ Πλάστῃ καὶ Σωτῆρι μᾶλλον, ἢ τοῖς γονεῦσιν· ὅσῳ δὲ πλέον ὑμᾶς ἐλύπησα, τοσούτῳ πλείονα καὶ τὸν μισθὸν ἕξετε». Ταῦτα γράψας ἔμεινε προσευχόμενος ἕως ὥρας τῆς μεταστάσεως. Ἦν δὲ τότε τῆς Ρώμης ἀρχιεπίσκοπος Ἰννοκέντιος. Τούτου γοῦν ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων ἱερουργοῦντος ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, παρόντος καὶ τοῦ βασιλέως Ὀνωρίου καὶ τῶν λοιπῶν τῆς συγκλήτου, ἠκούσθη φωνὴ ἄνωθεν τοῦ θυσιαστηρίου λέγουσα ταῦτα. «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορ-

»τισμένοι, καγὼ ἀναπαύσω ὑμᾶς». Ταῦτα ἀκούσαντες οἱ παρεστῶτες ἔφριξαν, καὶ πεσόντες κατὰ γῆς, ἔκραζον τὸ Κύριε ἐλέησον· καὶ πάλιν μετ' ὀλίγον ἠκούσθη καὶ ἑτέρα φωνὴ λέγουσα. «Τῇ παρασκευῇ πρωῒ ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐξέρχεται ἐκ τοῦ σώματος, καὶ ζητήσετε αὐτὸν ἵνα ποιήσητε δέησιν ὑπὲρ τῆς πόλεως, ὅπως μείνητε ἀ;λαβεῖς». Καὶ λοιπὸν τῇ Πέμπτῃ ἑσπέρας, συνηθροίσθησαν ἅπαντες ἐν τῷ ρηθέντι ναῷ τοῦ ἁγίου Πέτρου, καὶ τελέσαντες ἀγρυπνίαν ὅλην τὴν νύκτα, ἱκέτευον ὅπως φανερώσῃ αὐτοῖς ὁ Κύριος, ποῦ εὑρήσουσι τὸν δοῦλον αὐτοῦ· ἦσαν δὲ παρόντες ὅ,τε πατριάρχης καὶ ὁ βασιλεὺς καὶ παρ' αὐτῷ ὁ Εὐφημιανός. Πρωΐας δὲ πάλιν ἠλθεφωνὴ λέγουσα. «Ἐν τῷ οἴκῳ τοῦ Εὐφημιανοῦ ἐστὶν ὁ ἄνθρωπος τοῦ Θεοῦ.» Τότε λέγει πρὸς τὸν Εὐφημιανὸν ὁ βασιλεύς. «Εἰς τὴν οἰκίαν σου ἔχεις κεκρυμμένον τοιοῦτον θησαυρὸν ἀνεκτίμητον, καὶ οὐδὲν ἡμῖν ἐφανέρωσας;» Ὁ δὲ ἀπεκρίθη· «Ζῇ Κύριος ὁ Θεός μου, οὐδὲν ἐγίνωσκον ἕως σήμερον· ἀλλ' ὑπάγω δρομαῖος καὶ ἐρωτήσω τοὺς οἰκείους ἵνα εὕρωμεν τὸν ποθούμενον», Ἀπελθὼν οὖν ἡτοίμασε καθέδρας διὰ τὸν βασιλέα καὶ τὸν πατριάρχην, καὶ τοὺς λοιποὺς ἄρχοντας, ἐρχομένους εἰς τὴν οἰκίαν αὐτοῦ. Καὶ ἐξῆλθον πάντες οἱ θεράποντες αὐτοῦ μετὰ λαμπάδων καὶ θυμιαμάτων πρὸς ὑποδοχήν. Ὁ δὲ Εὐφημιανὸς ἠρώτησε τοὺς ὑπηρέτας, εἴ τινα γνωρίζουσιν ἄνθρωπον ἐνάρετον ἐν τῷ οἴκῳ παροικοῦντα· τότε ὁ ὑπηρέτης τοῦ Ἀλεξίου εἶπεν αὐτῷ. «Ὑπολαμβάνω Κύριέ μου, ὅτι οὗτος ἐστὶν ἐκεῖνος ὁ ξένος, ᾧ μὲ προσέταξας ὑπηρετεῖν, ὅτι μεγάλας ἀρετὰς καὶ θαυμάσια πράγματα εἶδον εἰς τοῦτον τὸν ἄνθρωπον. Νηστεύει πάσας τὰς ἡμέρας τῆς ἑβδομάδος, καὶ τὴν Κυριακὴν κοινωνεῖ τῶν θείων Μυστηρίων· ἔπειτα τρώγει δύο οὐγγίας ἄρτου, καὶ πίνει ὀλίγον ὕδωρ, καὶ οὕτω διάγει πάντοτε· τὰ δὲ φαγητὰ ὅσα στέλλεις ἐκ τῆς τραπέζης σου δίδωσιν ἄλλοις πτωχοῖς· ἀγρυπνεῖ τὰς νύκτας ὅλας καὶ προσεύχεται, καὶ (τὸ θαυμαστότερον) ὑπομένει ἀταράχως τὰς ὕβρεις, ὅσας εἰς αὐτὸν ἐνίοτε ποιοῦσιν οἱ ἀναίσχυντοι ὑπηρέται, οἵτινες καὶ ἐρράπισαν αὐτὸν ἐκ συνεργείας τοῦ δαίμονος, καὶ τὰ σκεύη πλύνοντες κατέχεον ἐπ' αὐτὸν τὰ ἀποπλύματα, παροξύνοντες αὐτὸν εἰς θυμόν· ἀλλ' αὐτὸς ὑπέμεινεν ἅπαντα μηδόλως ὀργιζόμενος. Ταῦτα ἀκούσας ὁ Εὐφημιανὸς, ἔδραμεν εὐθὺς πρὸς τὸν ἅγιον καὶ ἐφώνησεν αὐτὸν ἐκ τρίτου, ὁ δὲ οὐδὲν ἀπεκρίνατο. Ὅθεν εἰσελθὼν εἰς τὸν οἰκίσκον, εὗρεν αὐτὸν κείμενον, καὶ τὸ πρόσωπον κεκαλυμμένον, εἰς δὲ τὴν δεξιὰν αὐτοῦ ἐκράτει χαρτίον, ὅπερ ἐπειράθη μὲν λαβεῖν ὁ Εὐφημιανός, ἀλλ' οὐκ ἐδυνήθη. Ὅθεν ἐπιστραφεὶς σπουδαίως ἀνήγγειλε τῷ βασιλεῖ τὰ γενόμενα, καὶ ὁ βασιλεὺς προσέταξεν εὐθὺς εὐτρεπίσαι κλίνην πολύτιμον, ὅπου ἔθηκαν τὸ ἅγιον λείψανον. Ἐ-

πειτα ἀπεκάλυψαν τὸ πρόσωπον αὐτοῦ, καὶ ἔλαμψεν ὡς ἄγγελος, ὥστε μόλις ἠδύναντο πρὸς αὐτὸν ἀτενίζειν. Τότε ὁ βασιλεὺς μετὰ τοῦ πατριάρχου κλίναντες τὰ γόνατα, καὶ ἀσπασάμενοι τὸ λείψανον τοῦ ἁγίου, εἶπον αὐτῷ μετὰ ταπεινώσεως· «Δεόμεθα δοῦλε Χριστοῦ, δὸς ἡμῖν τὸν χάρτην τοῦτον ἵνα γνῶμεν τίς εἶ· ναὶ ἄνθρωπε τοῦ Θεοῦ ἐπουράνιε, μὴ παρακούσῃς· ὅτι ἀρχηγοὶ τοῦ λαοῦ ἐσμὲν (εἰ καὶ ἁμαρτωλοί), ἐγώ τε καὶ ὁ ἀρχιερεὺς οὗτος, ὁ τοῦ δεσπότου Χριστοῦ δοῦλος γνήσιος». Ταῦτα ὡς εἶπον μετὰ δακρύων ἔδωκεν αὐτοῖς τὸ γράμμα ὁ ὅσιος. Οἱ δὲ λαβόντες ἐχάρησαν, καὶ γενομένης σιωπῆς, ἀνέγνωσαν αὐτὸ λαμπρᾷ τῇ φωνῇ εἰς ἐπήκοον πάντων. Ὡς οὖν ἐπληροφορήθη βεβαίως ὁ Εὐφημιανὸς ἐκ τῶν ἐν αὐτῷ γεγραμμένων μυστικῶν, ὅτι αὐτός ἐστιν ὁ Ἀλέξιος, ἀνεβόησε κλαίων πικρῶς καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ τὰς τρίχας ἀνέσπα, καὶ τὸ στῆθος ἔτυπτε, καὶ ῥίψας ἑαυτὸν ἐπὶ τοῦ ἱεροῦ λειψάνου, κατέρρεε δάκρυα κρουνηδόν, καὶ στενάζων ἐκ βάθους καρδίας ἔκραζεν : «Οἴμοι τέκνον γλυκύτατον ! διατί μοι τοιαύτην ἔδωκας θλῖψιν καὶ βάσανον ; Διὰ τοσούτων χρόνων μὲ ἔβλεπες καθ' ἑκάστην τὸν ἄθλιον μαυροφοροῦντα καὶ πενθοῦντα, καὶ ἐκ καρδίας στενάζοντα, πῶς οὐκ ἐφανερώθης εἰς ἐμὲ σπλαγχνισθείς ; ὦ ἀγάπη μου· ὦ παραμυθία τοῦ γήρως μου καὶ ἀνάπαυσις ! Οἴμοι ! τί πράξω πρότερον ὁ ταλαίπωρος ; τὸν θάνατόν σου πενθήσω ; ἢ πανηγυρίσω τὴν εὕρεσιν : Ἡ φύσις μὲ ἀναγκάζει θρηνεῖν, ἀλλὰ πάλιν οὐκ ἔξεστι κλαίειν τῶν ἁγίων τὴν κοίμησιν».

Ταῦτα καὶ ἄλλα πλείονα λέγοντος αὐτοῦ μετὰ φωνῶν ἰσχυρῶν, ἤκουσαν αἱ γυναῖκες τὸν θρῦλον· καὶ μαθοῦσαι ὅτι οὗτος ἦτο ὁ ποθούμενος, ὥρμησαν ἔξωτῶν θαλάμων ἀσκεπεῖς ὑπὸ τῆς σπουδῆς καὶ ἀνυπόδητοι· ἐπειδὴ δὲ ἐσυνήχθη πολὺς ὄχλος, ὃν οὐκ ἠδύνατο διασχίζειν, παρεκάλει τὸ πλῆθος ἡ μήτηρ (προπορευομένης τῆς νεάνιδος) τοιαῦτα κράζουσα: «Παραχωρεῖτε παρακαλῶ, δότε μοι τόπον ἵνα ἰδῶ τὸ ἠγαπημένον μου τέκνον· δότε μοι τόπον ἄνθρωποι, διὰ τοὺς οἰκτιρμοὺς τοῦΘεοῦ, ὅπως ἀποχαιρετίσω τὸν μονογενῆ μου υἱόν, τὸ φῶς τῶν ὀφθαλμῶν μου· δότε μοι τόπον φιλόχριστοι, ὅπως ἀσπασθῶ κἂν νεκρὸν τὸ ἐμὸν ἀποκύημα.» Φθάσασα δὲ πρὸς τὸ τίμιον ἐκεῖνο καὶ ἅγιον λείψανον, ἐπέρριψεν ἐπάνω αὐτοῦ ἑαυτήν, δάκρυα ρέουσα καὶ ποθεινῶς αὐτὸ καταφιλοῦσα, καὶ πικρῶς ἐτραγῴδει τὴν συμφοράν, λέγουσα·«Οἴμοι γλυκύτατέ μοι υἱέ, διατί μοῦ ἔδωκες τοσαύτην θλῖψιν, καὶ δὲν μὲ ἐλυπήθης τὴν τάλαιναν ; Ὦ τέκνον μου ποθεινότατον, πῶς εἶχεν ψυχήν, καὶ μὲ ἤκουες καθ' ἡμέραν κατακοπτομένην διὰ σέ, καὶ δὲν μὲ ἐσυνεπόνεις τὴν τάλαιναν ; Ὦ τῆς

